UNIVERSITÄTS-
BIBLIOTHEK
PADERBORN

# Acta sanctorum

quotquot toto orbe coluntur, vel a catholicis scriptoribus celebrantur, quae ex Latinis et Græcis, aliarumque gentium antiquis monumentis

Quo dies nonus et decimus continentur

**Bolland, Johannes**

**Parisiis et Romae, 1925**

I. Passio S. Tryphonis Prior

urn:nbn:de:hbz:466:1-72556

Visual Library

*Auctore H. D.*

A *sacellum in ecclesia cathedrali anno 1598 exstructum, iisdemque adiunctae sunt anno 1666 reliquiae SS. Mamiliani et sociorum* (1). *Centum et amplius post annis sacellum destructum est et reliquiarum memoria paene deleta, donec anno 1910, iubente archiepiscopo cardinali A. Lualdi, pristini iisdem honores tribuerentur. Ecclesia Patrum Cruciferorum, quae anno 1601 Panormi condita est, S. Nymphae dedicata fuit, ubi fraternitas laicorum* S. Ninfa dei Crociferi *sedem habet. Eiusdem etiam nomen inhaesit turri antiquae palatii regii,* torre di S. Ninfa, *ubi nunc est specula astronomica. Statua eius collocata est in loco civitatis* Quattro canti *dicto, et etiam in* porta Felice, *qua sacrum caput anno 1593 in urbem illatum est. Ab hac certe translatione maxima S. Nymphae cultus apud Panormitanos incrementa accepit, non tamen initium. Iam enim anno 1483 una ex campanis principis templi* Sanctissimae Deiparae Nymphaeque virgini martyri *dedicata fuisse fertur* (2), *et in eadem ecclesia marmoreum eius simulacrum a Gagino artificiose confectum anno 1507 positum est* (3). *Attamen, quantum ex monumentis conicere licet, cultus S. Nymphae in Sicilia minime antiquus videtur, et non antea inductus quam lecta est Passio* BHL. *6256, ubi velut civis Panormitana traducitur, quod ideo solum excogitavit hagiographus quia S. Mamilianus episcopus Panormitanus fuisse censebatur. Saeculo XVIII celebrabatur dominica quarta septembris translatio S. Nymphae. Nuntiabatur in martyrologio ecclesiae Panormitanae, pridie idus novembris, cum octava festum S. Nymphae his verbis:* Apud Portum Romanum S. Nymphae virginis et martyris, urbis Panormi civis et patronae principalis... (4). « *Antiquitus, ita martyrologii editor, huius sanctae civis festum peractum fuisse Panormi 12 novembris testatur Caietanus; at nescio quis per summam inscitiam in posteriori aevo corrigendum censuit 10 novembris, cum advertisset hac die festum constitutum SS. martyribus Tryphoni, Respicio et Nymphae. At haec Nympha a nostra Panormitana penitus diversa. Scioli errorem detexit idem Caietanus, vir de rebus sacris Siculis bene merentissimus, ideoque die 12 restituendum curavit Nymphae Panormitanae festum* (5). » *Profecto erravit Caietanus cum binas excogitavit Nymphas. Die duodecima novembris Nympham obiisse in ipsa Passione legitur, in codicibus autem lemmati haec verba praefixa sunt* eodem die, *scilicet die decima qua SS. Tryphonis et Respicii commemoratio fiebat. Agebatur etiam a Panormitanis festum translationis S. Nymphae, cuius anniversaria dies in 9 septembris incidebat. Quod postea in dominicam septembris tertiam, deinde in quartam translatum est* (6).

*Cultus S. Nymphae Panormi*

B

*et in pago Santa Ninfa.*

36. *Municipium in Sicilia est a S. Nympha nuncupatum* (*Santa Ninfa, provincia di Trapani*), *quod pietatis causa erexit Ludovicus Arias Giardina, primis saec. XVII annis. Ampla ibidem sanctae martyri sacra exstructa est ecclesia, quae saeculo sequenti insignes eiusdem reliquias* (*has rursum ecclesia Sanctae Mariae in Monticellis* (7) *subministrasse censetur*) *accepit. Ita quippe officium proprium quod olim in ecclesia Sanctae Nymphae legi solebat:* Brachium vero quod anno 1721 ab apostolica sede Fridericus de Neapoli, princeps et dominus Terrae Sanctae, impetravit maiori ecclesiae eiusdem terrae [*Santa Ninfa*] argentea inclusum theca munifica largitate donavit ibique pia fidelium devotione novisque in diem honoribus celebratur (8). *Dominica secunda octobris translationis memoria agebatur.*

(1) Haec et alia plurima de cultu S. Nymphae Panormitano accepimus a R. D.G. Anichini, archiepiscopi Panormitani secretario, cui maximas gratias referimus. — (2) Amatus, *De principe templo*, p. 404. — (3) Amatus, t. c., p. 153; G. Di Marzo, *I Gagini e la scultura in Sicilia nei secoli*
C *XV e XVI*, t. I (Palermo, 1880), p. 222-23. — (4) *Martyrologium Panormitanum sanctorum civium et patronorum urbis Panormi secundo editum* (Panormi, 1742), p. 18. — (5) Ibid., p. 37. — (6) Ibid., pp. 17, 36. — (7) M. Accardi, *Cenni e documenti sulla chiesa matrice arcipretale di S. Ninfa*, in *Sicilia Sacra*, t. II (1900), p. 120-22. —(8) Ex litteris quas die 15 ianuarii 1922, rogante iam laudato R. D. Anichini, scrip- F
sit canonicus Vincentius Barbara, loci archipresbyter.

---

# I. PASSIO S. TRYPHONIS PRIOR

*E codicibus bibliothecae Vaticanae Palat. 317* (= **A 7**), *Hierosolymitano bibl. patriarch. 1* (= **A 2**), *bibl. Ambrosianae D. 92 sup.* (= **A 4**). *Cf. Comm. praev. num. 2.*

*Μαρτύριον τοῦ ἁγίου μάρτυρος*[1] *Τρύφωνος.*

*Gordiani Augusti filia*

**1.** *Ἔτους διακοσιοστοῦ ἐνενηκοστοῦ*[1] *πέμπτου ἀπὸ*[2] *τῆς βασιλείας Αὐγούστου ἐβασίλευσε Γορδιανὸς καῖσαρ ἐπὶ τῆς Ῥώμης πριγκίψ*[3] *τῆς Ἀνικίου συγκλήτου ὀνομαζόμενος* (1). *Οὗτος*[4] *ἐποίησεν θυγατέρα ὁμώνυμον αὐτῷ*[5]· *καὶ ταύτην ἐπαίδευσε γράμμασι καὶ πολλαῖς ἀρεταῖς κατακοσμήσας ἐν τῷ παλατίῳ διάγειν ἐποίη-*

**Lemma.** —[1] *om.* A 2.
**1.** —[1] *ἐνενικοστῶι* A 7. —[2] *om.* A 7. —[3] *ἀπὸ τῆς Ῥώμης Γορδιανὸς καίσαρ πρίνκηψ* A 2. —[4] *εὐτοίχησεν καὶ add.* A 2. —[5] *αὐτοῦ* A 2.

(1) Comm. praev. num. 5. Gordianum principem senatus vocatum fuisse nullo comprobatur antiquitatis monumento. Senatus *Ἀνικίου* ridiculum est commentum. Aniciorum gentis, vel Aniciorum numeri mentio est aeque incertae originis in Passionibus SS. Carterii et Georgii. Cf. P. Franchi de' Cavalieri, *Hagiographica*, p. 42; S. G. Mercati, *Sull' Ἀνικιόρων γένος dell' acrostico di Giuliana Anicia nel codice Viennese di Dioscoride*, in *Rivista degli studi orientali*, p. 427-31.

PASSIO I

σεν[6], μνηστήρων[7] οὐκ ὀλίγων αὐτῇ[8] προϊόντων[9] διὰ τὸ κάλλος αὐτῆς[10] τῶν τε Ἀνικίων τῆς[11] συγκλήτου καὶ ἑτέρων πλειόνων μεγιστάνων. Μόνης τε[12] ὑπαρχούσης αὐτῷ τῆς παιδός[13], ἐγένετο ἐνεργεῖσθαι αὐτὴν ὑπὸ πνεύματος πονηροῦ· καὶ[14]... τοῦ δαίμονος ἐπὶ ἐνεργείας ἐκβοῶντος[15] καὶ ἐπικαλουμένου Τρύφωνά τινα χηνοβοσκόν (1). Τοῦ οὖν[16] βασιλέως διαποροῦντος καὶ διασκεπτομένου ἐν τοσαύτῃ λύπῃ καὶ ἀλλοιοῦντος <τὸ πρόσωπον[17]> περὶ τὴν ζήτησιν τοῦ ὀνομαζομένου, προετρέψαντο αὐτὸν οἱ φίλοι αὐτοῦ[18] ἐκπέμψαι διατάγματα καθ' ὅλης τῆς οἰκουμένης, ὥστε ζητεῖσθαι τὸν ὀνομαζόμενον Τρύφωνα[19]. Τῶν οὖν[20] διαταγμάτων κατὰ πᾶσαν[21] πόλιν φοιτησάντων, ταχέως διῆλθεν τὸ[22] τοῦ βασιλέως δόγμα καὶ[21] εἰς τὰ μέρη τῆς Φρυγίας καὶ τῆς Ἀπαμέων πόλεως. Τῶν οὖν[20] στρατιωτῶν ἑκάστης πόλεως ἀναζητούντων[23] διὰ τὸ προσταχθὲν αὐτοῖς ὑπὸ τῶν ἀρχόντων Φρικίου[24] Πετρωνίου Πομπιανοῦ Βολκακίου[25] καὶ Αἰμιλιανοῦ Πρετεξτάτου[26] (2) τῶν ὑπάτων[27],

*a daemone arripitur.*

B καὶ ὁρισάντων τιμωρίαν κεφαλικήν, εἰ μὴ τάχιον οἱ ἀφ' ἑκάστης ἐπαρχίας καὶ πόλεως στρατηγοὶ ἀναζητήσουσι[28] Τρύφωνά τινα χηνοβοσκόν, καὶ[29] τούτων οὕτω γενομένων[30] καὶ σχεδὸν ὅλης τῆς οἰκουμένης κινηθείσης διὰ τὸ πρόσταγμα τοῦ βασιλέως καὶ τῶν ἐπάρχων, πολλοὶ ὡς εἰπεῖν καὶ ἀναρίθμητοι ἄνδρες οἱ τούτῳ τῷ ὀνόματι καλούμενοι συνελήφθησαν. Καὶ προσαγομένων αὐτῶν[31] πρὸς τὴν παῖδα[32] οὐδεὶς αὐτῶν ἠδυνήθη ἰάσασθαι αὐτήν· οὐ γὰρ ἦν ἐν αὐτοῖς ὁ ἐξ ἀληθείας ζητούμενος[33].

*Tryphon ubique requisitus*

*Romam deducitur.*

2. Τούτων οὖν οὕτως[1] γινομένων, οἱ τῶν Ῥωμαίων[2] στρατιῶται ἀναζητήσαντες[3] πάσας τὰς χώρας τῶν ἐπαρχιῶν[4], εὗρον τὸν μακάριον παῖδα[5] Τρύφωνα ἐγγὺς Σαμψάδου[6] κώμης (3) πρὸς παρακειμένῃ λίμνῃ νέμοντα τοὺς[7] χῆνας ἐν τῷ[8] ἕλει τῶν ὑδάτων· καὶ ἐπηρώτησαν αὐτόν, εἰ αὐτὸς εἶ ὁ Τρύφων[9]. Καὶ ὁμολογήσαντος αὐτοῦ[10] αὐτὸν[11] εἶναι Τρύφωνα τὸν ζητούμενον, ταχέως αὐτὸν ἵππῳ καθίσαντες[12] (4) μετὰ ἀναφορᾶς ἀνέπεμψαν[13] τῷ αὐτοκράτορι. D

*Eo appropinquante,*

Καὶ ἐγγίζοντος[14] αὐτοῦ ἐν[10] τῇ πόλει[15], ἔκραζεν τὸ πνεῦμα τὸ ἀκάθαρτον[16] λέγον· «Οὐ δύναμαι οἰκεῖν ἐν τῇ κόρῃ[17] ταύτῃ· ἔτι γὰρ τρεῖς ἡμέραι, καὶ ἐφίσταται τῇ Ῥώμῃ[18] ὁ λαβὼν καθ' ἡμῶν τὴν ἐξουσίαν καὶ ἀπόλλων τὴν ἡμετέραν φύσιν τε καὶ γένεσιν[19].» Καὶ πολλὰ κράξαν τὸ πνεῦμα ἐξῆλθεν ἀπὸ τῆς κόρης[20]· καὶ ἐγένετο ὑγιής. Ὁ δὲ βασιλεὺς ἐσημειώσατο τὴν ἡμέραν, ἐν ᾗ ὑγιὴς ἐγένετο ἡ παῖς ἀνεθεῖσα τοῦ δαίμονος.

*daemon exit e puella;*

Καὶ παραγεναμένου[21] τοῦ ἁγίου Τρύφωνος ἐν τῇ Ῥώμῃ καὶ προσκομισθείσης τῷ βασιλεῖ[22] τῆς ἀναφορᾶς[23] τῶν ἐπάρχων Πομπιανοῦ καὶ Πρετεξτάτου[24], ἔγνω ὁ βασιλεὺς αὐτὸν εἶναι τὸν Τρύφωνα[25], μάλιστα διὰ τὸ μετὰ τρεῖς ἡμέρας παρεῖναι[26] αὐτὸν ἐν τῇ Ῥώμῃ, ἡνίκα ἀπηλλάγη[27] τοῦ δαίμονος. Καὶ πολλὰ παρεκάλεσεν αὐτὸν[28] λέγων· «Εἴπερ αὐτὸς[29] εἶ ὁ ἰασάμενος τὴν παῖδα[30], δεῖξον ἡμῖν τὸν δαίμονα.» Ὡς δὲ νηστείαν εἶχεν ὁ μακάριος Τρύφων ἡμερῶν[31] E ἕξ, τῇ ἡμέρᾳ τῇ ἑβδόμῃ περὶ τὸ μεσονύκτιον προσευχομένου αὐτοῦ κατὰ τὸ εἰωθός[32], ἐδόθη αὐτῷ ἡ χάρις[33] καὶ ἡ δωρεὰ τοῦ ἁγίου Πνεύματος[34] ἔχειν τὴν ἐξουσίαν κατὰ τῶν ἀκαθάρτων δαιμόνων καὶ θεραπεύειν πᾶσαν νόσον καὶ πᾶσαν μαλακίαν καὶ[35] ἐνέργειαν τοῦ πονηροῦ ἀπείργειν ἀπὸ τῆς ἀνθρωπίνης φύσεως[36].

Matth. 4, 35.

*interroganti Tryphoni*

3. Τῇ ἑξῆς οὖν παρακαλοῦντος τοῦ βασιλέως κληθῆναι τὸν δαίμονα[1], ἔφη ὁ[2] Τρύφων· «Ἐν τῷ ὀνόματι Ἰησοῦ Χριστοῦ σοὶ λέγω, πνεῦμα πονηρόν, ὅπου περ ἂν ᾖς, εἰσελθὸν ἐμφανίσθητι[3] τοῖς ἀνθρώποις, μηδένα ἀδικήσας[4] τῶν παρεστώτων.» Καὶ εὐθέως ἦλθεν ἐν τῷ μέσῳ κύων μελανὸς μέγας[5], πυρίνους ἔχων τοὺς ὀφθαλμοὺς καὶ τὴν κεφαλὴν σύρων εἰς τὴν γῆν[6]. Ἔφη οὖν[7] ὁ Τρύφων πρὸς αὐτόν[8]· «Σοὶ λέγω, ἐπικατάρατε, τίνος χάριν ἐπεισῆλθες εἰς τὴν κόρην

[6] ἐπ. εἰς ἓν τῶν παλατίων εἶναι αὐτὴν A 2.— [7] δὲ *add.* A 2.— [8] αὐτῷ A 2.— [9] προσιόντων A 2.— [10] τὸ θαυμαζόμενον καὶ τὴν παιδίαν *add.* A 2. — [11] (τῶν - τῆς) C ἐκ τῶν τῆς Ἀνικίου A 2.— [12] οὕτω A 2. — [13] (αὐτῷ - παιδὸς) παιδὸς οὐκ ἐπένευσεν ὁ πατὴρ αὐτῆς μετὰ δὲ ταῦτα A 2. — [14] *nonnulla desunt* A 7. — [15] (πονηροῦ - ἐκβ.) ἀκαθάρτου τοῦ δὲ δαίμονος ἐκ πολλοῦ βοῶντος A 2. — [16] (τ. ο.) καὶ τοῦ A 2. — [17] (τ. π.) *om.* A 7, *supplevi ex* A 4; (διαποροῦντος - πρόσ.) διαπορουμένου ἔμπροσθεν αὐτῆς καὶ ἐν λύπῃ πολλῇ ὑπάρχοντος A 2. — [18] (φ. α.) σύμβουλοι αὐτοῦ ὥστε A 2. — [19] (ὥστε - Τρ.) ζητεῖσθαι αὐτόν· ὁ οὖν βασιλεὺς ἐξέπεμψεν συντόμως διατάγματα κατὰ πᾶσαν πόλιν ὥστε τὸν ὀν. Τρ. ἀναζητεῖσθαι A 2. — [20] δὲ A 2. — [21] *om.* A 2. — [22] (φοιτ. - τὸ) διελθόντων ἦλθεν ταχ. A 2. — [23] (ἑκ. π. ἀν.) ἀναζητησάντων καθ' ἑκάστην πόλιν A 2. — [24] Βήρου καὶ A 2; Φερρίου A 4. — [25] Κολκακίου A 7; Πετρονίου καὶ Πομπιανοῦ καὶ Πλακιδίου A 4. — [26] (κ. Αἰμ. Πρ.) Ἡμιλίου καὶ Προτεστάτου A 2; *om.* A 4. — [27] προτοστατούντων A 4; τῆς οἰκουμένης *add.* A 2, 4. — [28] (ὁρισάντων - ἀναζ.) τιμ. κεφ. ἀπειλικότων τοῖς μὴ ἐπιμελῶς ἀναζητοῦσι αὐτὸν τάχειον ἐλθόντες ἐφ' ἑκάστην ἐπαρχίαν στρατιγοί τε καὶ ταξιάρχαι ἀνεζήτουν A 2. — [29] *om.* A 2. — [30] γινομένων A 2. — [31] (συνελ. - αὐτῶν) προσερχόμενοι A 2. — [32] ἀπετύγχανον καὶ *add.* A 2. — [33] (οὐ - ζητούμενος) *om.* A 2.

**2.** — [1] (τ. ο. ο.) καὶ A 2. — [2] τῆς Ῥώμης A 2. — [3] ἀναζητοῦντες A 2. — [4] (τ. ἐπ.) *om.* A 2. — [5] *om.* A 2. — [6] Σαψάδου A 2. — [7] τὰς A 2. — [8] τινι A 2. — [9] τοῦ δὲ ταχέως ὁμολογήσαντος αὐτὸν εἶναι τὸν ζητούμενον ταχέως ἵππῳ καθήσαντες αὐτὸν ἤγαγον εἰς τὴν πόλιν καὶ ‛μετὰ πολλῆς συνοδίας συνέπεμψαν αὐτὸν τοῖς ἐπάρχοις οἱ κατὰ τὸν τόπον ἄρχοντες· παραγενομένου δὲ τοῦ παιδὸς καὶ εἰσαχθέντος τοῖς ἐπάρχοις *add.* A 2. F — [10] *om.* A 2. — [11] *om.* A 7. — [12] (ἵπ. καθ.) *om.* A 2. — [13] ἀνεπέμψαντο A 7. — [14] ἐγγ. δὲ A 2. — [15] Ῥώμῃ *add.* A 2. — [16] πονηρὸν A 2. — [17] πόλῃ (*corr.* πόλει) A 2. — [18] (τ. Ῥ.) *om.* A 2. — [19] (ἀπ. - γέν.) φύσιν A 2. — [20] κώμης A 2. — [21] παραγενομένου A 2. — [22] (κ. πρ. τ. β.) προκομησθήσης A 2. — [23] τῷ βασιλεῖ παρὰ *add.* A 2.— [24] Πρεξτάτου A 7; Πρετεστάτου A 2. — [25] τὸν ζητούμενον *add.* A 2. — [26] (διὰ τὸ - παρ.) ἐν τῷ διὰ τριῶν ἡμερῶν ἐλθεῖν A 2. — [27] ἡ παῖς *add.* A 2. — [28] (καὶ - αὐτὸν) πολλὰ δὲ παρεκάλει αὐτ. ὁ βασιλεὺς A 2. — [29] (εἶπ. αὐτ.) εἰπέ μοι εἰ σὺ A 2. — [30] μου *add.* A 2. — [31] ἐπὶ ἡμέρας ἕξ A 2. — [32] (τῇ - εἰωθός) δεόμενος τοῦ Θεοῦ περὶ τούτου καὶ τῇ ἡμέρᾳ τῇ ἑβδόμῃ προσευχομένου αὐτοῦ A 2. — [33] περὶ τὸ μεσονύκτιον κατὰ τὸ εἰωθῶς *add.* A 2. — [34] εἰ καὶ πάλαι δοθῆσα αὐτῷ τοῦ *add.* A 2. — [35] πᾶσαν *add.* A 2. — [36] (ἀπείργειν - φύσεως) *om.* A 2.

**3.** — [1] καὶ φανερωθῆναι ἐνώπιον πάντων *add.* A 2. — [2] ἅγιος *add.* A 2. — [3] (ὅπου - ἐμφ.) καὶ ἀκάθαρτον ἐμφάνηθι A 2. — [4] ἀδικήσεις A 2. — [5] (μ. μ.) μέλας A 2. — [6] τῆς γῆς A 2. — [7] δὲ A 2. — [8] πρ. αὐτ. ὁ Τρ. A 2.

(1) Similia in aliis sanctorum Vitis occurunt. Comm. praev. num. 5. — (2) In restituenda ex codicibus nativa nominum scriptione operam perdere nolumus. Comm. praev. num. 5. — (3) Huius nominis in Phrygia, quae S. Tryphonis patria dicitur, vicum prope Apamaeam fuisse, nulla est ambigendi ratio. Locus ceterum ignotus est. Comm. praev. num. 17. — (4) *Passio Polycarpi*, VIII, 1 : ὄνῳ καθίσαντες.

ταύτην

A *ταύτην, τοῦ*[9] *φθεῖραι αὐτήν;» Καὶ ὁ δαίμων*
*ἔφη· «Θαυμάζω πῶς σὺ οὐ πλέον ὢν ἐτῶν*[10] *δε-*
*καεπτὰ*[11] *ἐτάχθης ἀναζητεῖν τὴν ἡμετέραν φύσιν*
*τε*[12] *καὶ γένεσιν*[13]. *» Λέγει πρὸς αὐτὸν ὁ*[14]
*Τρύφων· «Ἐν τῷ ὀνόματι*[15] *Ἰησοῦ Χριστοῦ*[16],
*εἰπὲ πῶς εἰσῆλθες εἰς αὐτήν.» Λέγει ὁ δαί-*
*multis* *μων· «Ὁ πατὴρ*[17] *ἀπέστειλέν με*[18], *δούς μοι*
*respondet,* *τὴν ἐξουσίαν αὐτῆς*[19], *ὥστε βασανίσαι αὐτὴν*[20]
*καὶ καταφθεῖραι.» Λέγει αὐτῷ ὁ*[21] *Τρύφων·*
*«Τίς ἐστιν ὁ πατήρ σου;» Λέγει*[22] *ὁ δαίμων*[23]*·*
*«Ὁ διάβολος.» Λέγει αὐτῷ*[24] *ὁ Τρύφων· «Τίς*
*ἐστιν ὁ διάβολος;» Ἀπεκρίνατο*[25] *ὁ δαίμων·*
*«Ὁ Σατανᾶς.» Λέγει ὁ*[26] *Τρύφων· «Καὶ πό-*
*θεν ἴσασιν οὗτοι οἱ παρεστῶτες*[27], *ἀλλὰ μὴν*
*καὶ ὁ βασιλεύς, τίς ἐστιν ὁ Σατανᾶς;» Ἔφη*
*ὁ δαίμων· «Ὁ*[24] *Σατανᾶς ἐστιν οὗτος ὁ αἴρων*
*τὸν εὐσεβῆ*[24] *λογισμὸν*[28] *τῶν ἀνθρώπων*[29] *εἰσ-*
*ερχόμενος εἰς τὰς διανοίας αὐτῶν καὶ ποιῶν*
*λησμονεῖν*[30] *αὐτοὺς τὸν τῶν ἁπάντων γενεσιάρ-*
*χην Θεὸν καὶ τὸν παῖδα αὐτοῦ Ἰησοῦν Χριστόν,*
*ὃν ἐκήρυξαν ἐν τῇ πόλει ταύτῃ Πέτρος καὶ*
B *Παῦλος*[31] *καὶ ὑπὲρ τοῦ ὀνόματος αὐτοῦ ἀπέ-*
*θανον, ποιῶν*[32] *ἀνθρώπους προσκυνεῖν εἰδώ-*
*λοις κενοῖς καὶ προσέχειν κνίσσαις καὶ σπον-*
*δαῖς ματαίαις καὶ παράγειν*[33] *εἰς ἀπώλειαν τὰς*
*ἑαυτῶν ψυχὰς καὶ κατάγειν εἰς πυθμένα ᾅδου*
*καταδιώκοντας*[34] *τοῖς ἔργοις τούτοις τὸν ἄρ-*
*χοντα τῆς ἀνομίας καὶ κληρονομεῖν μετ' αὐ-*
*τοῦ*[35] *τὴν αἰώνιον κόλασιν.» Λέγει οὖν*[36] *πρὸς*
*αὐτὸν ὁ*[37] *Τρύφων· «Ποίαν ἐξουσίαν ἔχων ὁ*
*πατήρ σου ἐκέλευσέν*[38] *σε εἰς ἀνθρώπου σῶμα*[39]
Gen. 2, 7; *εἰσελθεῖν, ὃ*[40] *ἔπλασαν αἱ ἄχραντοι χεῖρες τοῦ*
Sap. 15, 11. *Θεοῦ*[41] *καὶ ἐνεφύσησεν εἰς*[42] *αὐτὸν πνεῦμα*
*ζωῆς;» Λέγει ὁ δαίμων· «Ἡμεῖς οὐκ ἔχομεν*
*ἐξουσίαν κατὰ τῶν εἰδότων τὸν Θεὸν ἐν εὐσε-*
*βείᾳ· ἀλλ' ὅσον ἀποφεύγομεν τοὺς μετὰ πολλῆς*
*εὐσεβείας καὶ δικαιοσύνης τὸν Θεὸν φοβουμέ-*
*νους, τοσοῦτον ἰσχύομεν*[43] *καὶ ἐξουσιάζομεν τῶν*
*τὰ ἡμετέρα ἔργα διαπραττόντων*[44]. *» Ἔφη πρὸς*
*αὐτὸν ὁ*[37] *Τρύφων· «Τίνα*[45] *ἐστὶν τὰ ὑμέτερα*
*ἔργα*[46] *καὶ τὰ*[36] *τοῦ πατρὸς ὑμῶν*[47]*;» Λέγει*[48]
*ὁ δαίμων*[49]*· «Ἔστι ταῦτα· εἰδωλολατρεῖαι*[50],
*φαρμακεῖαι*[51], *πορνεῖαι, μοιχεῖαι*[52], *ἐπιθυμί-* Passio I
*αι*[52], *καταλαλιαί, λοιδορίαι, βλασφημίαι, φθό-* Matth.
*νοι, ἔρεις*[53], *μάχαι, φυσιώσεις, ὑπερηφανίαι,* 15, 19;
*πλεονεξίαι, ἁρπαγαί, κλοπαί*[52], *ψεῦδος*[54] *καὶ* Gal. 5, 19;
*τὰ λοιπὰ τὰ ὅμοια τούτοις*[55]. *Οἱ γὰρ ταῦτα* Rom. 1, 29.
*πράττοντες καὶ ἐπερειδόμενοι τῶν ἡμετέρων*
*ἔργων πολλὰ ἔχουσι τῆς ἡμετέρας συγγενείας*[56]. *»*
*Ταῦτα ἀκούσας ὁ βασιλεὺς καὶ οἱ παρεστῶτες*
*ὄχλοι φίλοι τε καὶ συγκλητικοί, σοφοί τε καὶ*[57]
*μεγιστάνες τῆς Ῥώμης, ἐδόξασαν τὸν Θεὸν*
*τὸν δόντα τοιαύτην χάριν τοῖς ἀνθρώποις. Καὶ* Matth. 9, 8.
*πολλοὶ τῶν ἀκουόντων*[58] *ἑλλήνων ἐπίστευσαν*
*εἰς τὸν κύριον*[59] *Ἰησοῦν Χριστόν· τῶν δὲ*
*ἐξ ἀρχῆς πεπιστευκότων ἐστερεώθησαν αἱ καρ-*
*δίαι αὐτῶν ἐν*[60] *τῇ πίστει· καὶ τούτων γινομέ-*
*νων ἐκέλευσεν ὁ πανάγιος Τρύφων τῷ δαίμονι*[61] *donec*
*ἀπέλθειν εἰς τὸν τόπον τοῦ πυρὸς τῆς κολά-* *dimittatur.*
*σεως*[62], *ὃν ἡτοίμασε Κύριος*[63] *τῷ διαβόλῳ καὶ* Matth. 25,
*τοῖς ἀγγέλοις αὐτοῦ. Καὶ ὁ βασιλεὺς ἀγαθυν-* 41.
*θεὶς ἐπὶ τοῖς*[64] *ἔργοις τοῦ ἁγίου Τρύφωνος*[65],
*ἐξέπεμψεν αὐτὸν εἰς τὴν ἰδίαν χώραν ἄκτοις*
*καὶ ὑπηρεσίᾳ*[66] *πολλῇ σφόδρα καὶ ἀγαθοῖς οὐκ* E
*ὀλίγοις, κελεύσας*[67] *Πομπιανῷ καὶ Πρετεξτάτῳ*
*τοῖς ἐπάρχοις διάγειν*[68] *αὐτὸν εἰς τὴν ἰδίαν*
*χώραν μετὰ πολλῆς βασταγῆς*[69], *ὥστε τὸν*
*μακάριον Τρύφωνα διοικῆσαι εἰς τοὺς πτωχοὺς*
*κατὰ τὴν ὁδὸν*[70] *δωρηθέντα αὐτῷ ὑπὸ τοῦ βα-*
*σιλέως.*

**4.** *Τελευτήσαντος δὲ Γορδιανοῦ καίσαρος τῷ* *Mortuo*
*πέμπτῳ καὶ εἰκοστῷ ἔτει*[1], *ἐβασίλευσεν ἀντ'* *Gordiano*
*αὐτοῦ Φίλιππος ἔτη δεκαπέντε*[2]*· ὅστις οὐδέ-* *et Philippo,*
*ποτε ἀπέστη*[3] *τῶν βδελυγμάτων*[4] *θύων τοῖς*
*εἰδώλοις καὶ σπένδων ἐπὶ τοὺς βωμοὺς τοῖς*[5]
*δαίμοσιν*[6]. *Καὶ ἀπέκτεινεν αὐτὸν*[7] *ὁ Θεὸς ἐν*
*πολέμῳ τῶν Γλουσίων*[8] (1) *· οὐ γὰρ ἦν ὁ λογισ-*
*μὸς αὐτοῦ εὐσεβής*[9].

**5.** *Τελευτήσαντος δὲ τοῦ Φιλίππου, διαδέ-* *Decius*
*χεται τὴν βασιλείαν αὐτοῦ Δέκιος καῖσαρ τῆς*[1]
*Ῥώμης, ἀνὴρ πάνδεινος, ὅλος δι' ὅλου τῇ δαι-*
*μονικῇ ὑπαχθεὶς εἰδωλολατρείᾳ*[2], *ὅστις πολ-*
*λοὺς*[1] *ἀπὸ τῆς Ῥώμης μετὰ πολλῶν τῶν*[1] *βα-*
*σάνων καὶ κολάσεων*[3] *χριστιανοὺς ἐποίησεν*

C

[9] (*ἐπικ. - τοῦ*) *κατηραμένε δαίμων τίνος ἕνεκεν ἐπ. τῇ κόρῃ ταύτῃ* A 2. — [10] *πλεῖον ἔχων ἔτη* A 2. — [11] A 2 *et ceteri fere*; *ἑπτὰ* A 7. — [12] *om.* A 2. — [13] *γέννησιν* A 2. — [14] *ἅγιος add.* A 2. — [15] *τοῦ κυρίου ἡμῶν add.* A 2. — [16] *ἐπιτάττω σοι add.* A 2. — [17] *μου add.* A 2. — [18] *ὁ add.* A 2 — [19] *om.* A 2. — [20] *αὐτὴν βασ.* A 2. — [21] *πρὸς αὐτὸν ὁ ἅγιος* A 2. — [22] *ἀπεκρίθη* A 2. — [23] *καὶ εἶπεν add.* A 2. — [24] *om.* A 2. — [25] *λέγει* A 2. — [26] *ἅγιος add.* A 2. — [27] (*οἱ π.*) *πάντες* A 2. — [28] *ἀπὸ add.* A 2. — [29] *καὶ add.* A 7. — [30] *ἐλισμονεῖν* A 2. — [31] *ἐν τ. π. τ. Π. καὶ Π. ἐκήρυξαν* A 2. — [32] *καὶ ποιῶν τοὺς* A 2. — [33] *κατάγειν* A 2. — [34] *καταδιώκοντα* A 7. — [35] (*καταδ.- αὐτοῦ*) *εἰς τὸν ἅδην μιμοῦνται γὰρ τοῖς ἔργοις αὐτοῖς τὸν ἡγεμῶνα τῆς ἀδικίας ἡμῶν καὶ κληρονομοῦσιν μεθ' ἡμῶν* A 2. — [36] *om.* A 2. — [37] *ἅγιος add.* A 2. — [38] *ἐκέλλευσεν* A 2. — [39] *σῶμα ἀνθ.* A 2. — [40] *ὅπερ* A 2. — [41] *τ. Θ. χ.* A 2. — [42] *ἐπεφύσησεν ἐπ'* A 2. — [43] (*κατὰ - ἰσχύομεν*) *τὸν ἐν εὐσεβείᾳ καρδίας τὸν Θ. φ. ἀλλὰ κατισχύομεν* A 2. — [44] *ποιούντων* A 2. — [45] *ποῖα* A 2. — [46] *τῆς ἡμετέρας φύσεως add.* A 2. — [47] *εἰσὶν ταῦτα add.* A 2. — [48] *ἀπεκρίθη* A 2. — [49] *τὰ ἡμέτερα ἔργα τῆς ἡμετέρας φύσεως καὶ τοῦ πατρὸς ἡμῶν add.* A 2. — [50] *εἰδωλολατρεία* A 2. — [51] *φόνοι add.* A 2. — [52] *om.* A 2. — [53] *αἱρέσεις* A 7. — [54] *ἐπιορκίαι add.* A 2. — [55] *ὅσα ἐστὶν τ. ὅμ.* A 2. — [56] (*τῶν- συγγ.*) *ἐπὶ τοῖς ἡμετέροις ἔργοις ὑποπίπτουσιν ἐν ταῖς ἡμετέραις κολάσεσιν* A 2. — [57] (*ὄχλοι - καὶ*) *φίλοι αὐτοῦ συγκ. τε καὶ πάντες οἱ* A 2. — [58] *ἀκούσαντες τῶν* A 2. — [59] *ἡμῶν add.* A 2. — [60] (*αὐτῶν ἐν*) *om.* A 2. — [61] (*ἐκέλ. - δαίμ.*) *ἐπέταξεν τῷ δ. ὁ π. Τρ.* A 2. — [62] *τῆς κολ. τ. π.* A 2. — [63] *ὁ Θεὸς* A 2. — [64] *ὁσίοις add.* A 2. — [65] (*τ. ἁ. Τ.*) *αὐτοῦ* A 2. — [66] *ὑπηρεσίας* A 7. — [67] *κελλεύσας* A 2. — [68] *προτεστάτο ἐπάρχοις διαγαγεῖν* A 2. — [69] *χαρμωσύνης* A 2. — [70] (*διοικῆσαι - ὁδὸν*) *διαδοῦναι τοῖς πτωχοῖς τὰ* A 2.

F

**4.** — [1] *αὐτοῦ add.* A 2. — [2] (*ἀντ' - δεκ.*) *Φ. μετ' αὐτὸν* A 2. — [3] *ἀπὸ add.* A 2. — [4] *τῶν ἐθνῶν* A 2. — [5] *καὶ* A 2. — [6] *καὶ μυσαροῖς ἐβασίλευσεν δὲ Φίλιππος ἔτη δεκαπέντε add.* A 2. — [7] *αὐτῶι* A 7. — [8] *τρογλοδυτῶν* A 2. — [9] *ἀγαθός* A 2.

**5.** — [1] *om.* A 2. — [2] *εἰδ. ὑπ.* A 2. — [3] *πολλοὺς add.* A 2.

(1) Nullam esse *τῶν Γλουσίων* gentem in confesso est, nec depravatam esse lectionem e *Τρωγλοδυτῶν*, quam habent codices non pauci et Metaphrastes, certum mihi est. Ut opportune monuit v. cl. P. Franchi de' Cavalieri, *Hagiographica*, p. 20, teste Chronico Paschali (Dindorf, p. 503), Philippus Arabs moritur ann. 253, *ὡς πολεμεῖ τοῖς Γήπεσιν*; pro Gepidis autem, ita pergit, alio loco *Ἀγαθύρσους* seu *Ἀγαθυρσίους*, quae et Scythica gens est, legerit hagiographus noster, librarius autem ex *ΑΓΑΘΥΡCΙΩΝ* paucis litteris neglectis, aliis perperam lectis, scripserit *ΓΛΟΥ... CΙΩΝ*. Argute hercle excogitata, quae tamen indubia habere non ausim.

*ἀρνήσασθαι*

Passio I

ἀρνήσασθαι τὸ ὄνομα τοῦ Θεοῦ (1), καὶ πολλοὺς τῆς [4] προσδοκωμένης ἐλπίδος τοῦ Χριστοῦ ἀπεστέρησε · ἡ γὰρ ἐνέργεια τοῦ πονηροῦ οὐ μικρὰ ἦν ἐν τῇ Ῥώμῃ καὶ [5] τῶν δοκούντων ἱερατεύειν τῷ Κυρίῳ ἀρχόντων τε καὶ προέδρων ἱερέων τε καὶ τῶν ἐπαρχομένων [6] οὐκ ὀλίγοι ἠρνήσαντο τὸ ὄνομα τοῦ Θεοῦ [7], τὰς μυσαρὰς ἐπιτελοῦντες [8] σπονδὰς ἐν τῷ Καπετωλίῳ τῷ τε Διῒ καὶ τῇ Ἀθηνᾷ καὶ τῷ ἄντικρυς τοῦ Καπετωλίου [9] καθεζομένῳ ἀγάλματι, ὡς [10] ἀπὸ τοῦ πλήθους τῶν θυσιῶν [11] καὶ τῶν ὑπὸ τῶν ἀποστατῶν ἐθνῶν ῥιπτομένων [12] χριστιανῶν ἐν τῷ Τιβερίῳ ποταμῷ τὸ ὕδωρ αἷμα γενέσθαι. Ἐπὶ πολλὰς οὖν [13] ἡμέρας πολλοῦ [14] πλήθους ἐξορμήσαντος ἐπὶ τὴν τοιαύτην θεήλατον παρανομίαν καὶ ἀρνησαμένων τὸν Θεόν [15], μόλις ὀλίγοι ἴσχυσαν διαδρᾶσαι τῆς τοιαύτης παρανομίας, ὧν αἱ ὑποστάσεις ἀνελήφθησαν τῷ ταμείῳ [16]. Οὕτως γὰρ περιεῖχε τὸ πρόσταγμα τοῦ βασιλέως. Τῶν γὰρ μαθητῶν τοῦ Κυρίου ἀπὸ τοῦ διωγμοῦ [17] τοῦ ἐπὶ Ἀντωνίου καὶ Κομόδου [18] πολὺ διάστημα καιρῶν βαθεῖαν εἰρήνην καὶ εὐθυμίαν ἐχόντων [19], πάλιν ἀνενεώθη ὁ διωγμὸς ἐπὶ Δεκίου τοῦ καίσαρος τῆς Ῥώμης [20], ὥστε τὸ διάταγμα αὐτοῦ ἐξεπέμφθη [21] κατὰ πᾶσαν πόλιν [22], περιέχον τὸν τρόπον τοῦτον ὡς, εἴ τινες μὴ ἤθελον θύειν τοῖς θεοῖς καὶ ὀμνύειν Δία τὸν ἐν τῷ καπετωλίῳ ἐπὶ τῇ ἀρνήσει τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, καὶ [23] εἰ μὴ σπένδουσι τοῖς θεοῖς καὶ τοῖς βωμοῖς [24], πυρὶ καὶ θηρίοις καὶ ἀνηκέστοις [25] παραδίδοσθαι αὐτοὺς [26] συμφοραῖς [27].

*christianos insequitur.*

B

*Ad praefectum Orientis*

6. Οἱ δὲ [1] ἄρχοντες πάσης τῆς ἐξαρχίας [2] ἀσμένως ἀπεδέξαντο [3] τὸ πρόσταγμα τοῦ βασιλέως προθύμως ἐκτελεῖν τὸ προσταχθὲν [4] αὐτοῖς · ἦσαν δὲ [5] κατὰ τοὺς καιροὺς ἐκείνους ἔπαρχοι τῶν [6] πραιτωρίων τῆς μὲν Ἀνατολῆς Τιβέριος Γράγχος καὶ Κλαύδιος Ἀκυλῖνος ὁ καὶ ὑπατικὸς καὶ τῆς [7] δύσεως Βουκάκιος [8] Πετρώνιος Γράτος [6] ὕπατος (2), τῆς δὲ Ῥώμης Αἰμιλιανός · οἵτινες τὸ δικαίωμα [9] τοῦ βασιλέως κατὰ πᾶσαν πόλιν τε [6] καὶ χώραν μετὰ διωγμιτῶν (3) καὶ ἰδίων προσταγμάτων ἐξέπεμπον · καὶ τοῦ [10] διωγμοῦ καθ' ὅλης τῆς οἰκουμένης ἐνεργήσαντος, ἀνηνέχθη τῷ ἐπάρχῳ τῆς Ἀνατολῆς [11] ἡ γνῶσις τῆς θεοσεβείας τῆς κατὰ τὸν μακάριον Τρύφωνα · ἦν γὰρ ἀδύνατον [12] τὸ λαθεῖν αὐτόν · ἐκ πολλῶν γὰρ ἐτῶν τὰ ἐκ δωρεῶν τοῦ Θεοῦ παρεχόμενα αὐτῷ χαρίσματα εἰς πολλὰς ἐπαρχίας ἀνεδείκνυντο. Ὡς δὲ μετὰ σπουδῆς τοῦτον ἐκέλευσε [13] παραστῆναι, ἀποσταλέντων τῶν ἐκ τῆς τάξεως στρατιωτῶν [14], συνελήφθη ὁ ἅγιος ὑπὸ Φρόντωνός [15] τινος εἰρηνάρχου τῆς Ἀπαμέων πόλεως · ἐξελθόντος δὲ [16] εἰς ἀναζήτησιν αὐτοῦ μετὰ διωγμιτῶν (αὐτῷ γὰρ ἦν γραφὲν τὸ πρόσταγμα [17] παρὰ τῶν ἀρχόντων) καὶ ἀνευρόντες [18] αὐτόν, παρέδωκαν αὐτὸν [19] τοῖς στρατιώταις. Οἱ δὲ παραλαβόντες αὐτὸν δέσμιον [20] ἀπήγαγον [21] εἰς τὴν Νικαέων πόλιν · καὶ ἀπαχθέντος αὐτοῦ ἐν τῇ Νικαέων πόλει [22], παρεδόθη ἐν [20] τῷ δεσμωτηρίῳ διὰ τὸ τὸν ἔπαρχον εἰς δημοσίας ἀπασχολεῖσθαι [23] χρείας.

D

*defertur Tryphon*

7. Τῇ ἑξῆς οὖν [1] ἀνήνεγκαν [2] αὐτῷ λέγοντες · « Συνελήφθη ὁ Τρύφων, ὃν ἐκ πολλῆς φήμης περιελθόντα [3] εἰς ἡμᾶς ἀκηκόαμεν [4]. » Ὡς δὲ ἐκέλευσεν αὐτὸν ἀχθῆναι [5], μετὰ πολλῆς χαρᾶς εἰσῆλθεν ὁ ἅγιος [6] Τρύφων, θάρσους γὰρ ἐνεπίπλατο (4) αὐτοῦ ἡ ψυχή [7], τὸν ἄριστον ἀγῶνα τῆς ὁμολογίας τοῦ [1] Κυρίου [1] μέλλοντος αὐτοῦ ἐκτελεῖν. Πομπιανὸς [8] πριμικήριος τῆς μεγίστης [9] τάξεως εἶπεν · « Παρέστηκεν [10] ὁ τῆς Ἀπαμέων ἐνορίας εἰρήναρχος τὸν ἀπὸ Σαμψάδου κώμης ὁρμώμενον Τρύφωνα τῷ μεγίστῳ καὶ ὑπερλάμπρῳ βήματι τῆς ἐξουσίας σου, ὃς παρέστηκεν [11] ἐξεταζόμενος. » Τιβέριος Γράγχος καὶ Κλαύδιος [12] Ἀκυλῖνος [13] ἔφη · « Τί τὸ ὄνομα τοῦ παρεστῶτος ; » Ὁ δὲ ἔφη [14] · « Τρύφων. » — « Ποίας τύχης τυγχάνεις [15] ; » Τρύφων εἶπεν · « Τύχη παρὰ χριστιανοῖς οὐκ ἔστιν οὔτε ἐγένετο ἀπὸ τῆς τοῦ Θεοῦ δημιουργίας [16] · τέχνῃ δέ τινι τῶν ἀνθρώπων καὶ [17] καθευρέσει [17] ὀνομάζεται · εἰ δὲ βούλει μαθεῖν [18], ἐλευθέρας μέν εἰμι διαγωγῆς · τὸ δὲ μέγιστον ὑπὲρ ὅλα [19] τοῦ κατ' ἐμὲ φρονήματος μάνθανε, ὅτι [17] χριστιανός

*et coram eo sistitur;*

C F

[4] τοὺς A 7. — [5] (ἡ γὰρ - καὶ) καὶ πολλοὺς ἀνθρώπους ἐπ' ἐλπίδι βασιλείας τῶν οὐρανῶν ἀπέστρεψεν · ἡ γὰρ τ. π. οὐ μ. ἐν τῇ πόλει Ῥ. ἐνέργεια καὶ γὰρ A 2. — [6] (ἱερ. - ἐπαρχ.) καὶ ἱερέων A 2. — [7] (τὸ - Θεοῦ) τὸν Θεὸν A 2. — [8] ἐκτελοῦντες A 2. — [9] (τ. Κ.) αὐτῶν A 2. — [10] ὥστε A 2. — [11] θυομένων A 2. — [12] (καὶ - ῥιπτ.) καὶ ῥηπτομένων ὑπὸ ἑλλήνων καὶ ἀποστατῶν A 2. — [13] om. A 2. — [14] δὲ add. A 2. — [15] (καὶ - Θεόν) om. A 2. — [16] ταμιείῳ A 2. — [17] ἐκ τῶν διωγμῶν A 2. — [18] (Ἀ. κ. Κ.) om. A 7, supplevi ex A 2. — [19] οἰκούντων A 7. — [20] (τοῦ ἐπὶ - τῆς Ῥ.) βαθεῖαν εἰρ. ἐχόντων καὶ εὐθ. ἐπὶ πολλὺ διαστήματος καιρῶν ἐπὶ Ἀντωνίου καὶ Κομόδου τῶν βασιλέων πάλιν ἀν. ὁ διωγμ. ἐπὶ τῆς βασ. Δεκ. Καίσαρος A 2. — [21] ἐκπεμφθῆναι A 2. — [22] καὶ χώραν add. A 2. — [23] ἵνα μὴ A 7. — [24] (μὴ ἤθ. - βωμοῖς) θέλουσιν θύειν ἑκουσίως τοῖς θεοῖς καὶ ὀμνύειν τὸν μέγαν Δίαν τὸν ἐ. τ. Κ. ἐν τῇ ἀρν. τοῦ Χριστοῦ καὶ εἰ μὴ ἐπισπένδουσι τ. θ. ἐπὶ τ. β. αὐτῶν A 2. — [25] ἀνικεστάτοις αὐτοῖς A 2. — [26] αὐτοῦ A 7, om. A 2. — [27] κελεύω add. A 2.

6. — [1] οὖν A 2. — [2] ἐπαρχίας A 2. — [3] ἀποδεξάμενοι A 2. — [4] ἐξετέλουν τὰ προστ ιττόμενα A 2. — [5] γὰρ A 2. — [6] om. A 2. — [7] (ὁ - τῆς) ὕπατος τῆς δὲ A 2. — [8] βουκάδιος A 2. — [9] διάταγμα A 2. — [10] (κ. τ.) τοῦ δὲ A 2. — [11] Ἀγκυλίνῳ add. A 2. — [12] ἀδ. γὰρ ἦν A 2. — [13] (τὰ - ἐκ.) δωρεῶν καὶ χαρισμάτων τοῦ Θεοῦ ἀξιωθεὶς περιερχόμενος ἦν εἰς πολλὰς ἐπ. ἰάσεις ἐπιτελῶν · ὡς δὲ δι' ἄλλης σπουδῆς ἐκέλλευσεν αὐτὸν A 2. — [14] (τῶν - στρατ.) στρατ. ἐπ' αὐτὸν ταχέως A 2. — [15] Φόρτωνος A 7 ; Φρόντονος A 2. — [16] ὃς ἐξελθὼν A 2. — [17] τὸ πρ. γρ. A 2. — [18] (καὶ ἀν.) εὑρὼν A 2. — [19] (π. αὐτ.) παρέδωκεν A 2. — [20] om. A 2. — [21] τῷ ἐπάρχῳ Ἀκυλίνῳ add. A 2. — [22] (ἀπαχθ.- πόλει) ἀπαχθεὶς παρεδόθη A 2. — [23] ἀσχολεῖσθαι εἰς διμοσίας A 2.

7. — [1] om. A 2. — [2] ἀνηνέχθη A 2. — [3] περιελθούσης A 7. — [4] (λέγοντες - ἀκηκ.) συλληφθῆναι τὸν Τρύφωνα τὸν ἐκ πολλῆς φίμης περιελθόντα εἰς αὐτόν A 2. — [5] εἰσαχθῆναι A 2. — [6] ἦλθεν ὁ μακάριος A 2. — [7] ἐμπίμπλατο ἡ ψ. αὐτοῦ A 2. — [8] πομπιινὸς A 7. — [9] δὲ σκρινιάριος τῆς μεγάλης A 2. — [10] παρέστι σοι Τρύφων A 2. — [11] (ὁ - παρέστηκεν) ὃς ἦν ἀπαρχῆς ἀπὸ Σ. κ. ὁρμώμενος τῷ βήματί σου τῷ μεγ. καὶ ὑπ. τῆς ἐξ. A 2. — [12] καὶ add. A 7. — [13] ὁ ὑπέρλαμπρος add. A 2. — [14] (τί - ἔφη) om. A 2. — [15] εἶ A 2. — [16] (ἀπὸ - δημ.) Θεοῦ προνοίᾳ A 2. — [17] om. A 2. — [18] τὰ κατεμὲ add. A 2. — [19] (ὑ. ὅλ.) καὶ ὑπέρονκον A 2.

(1) Quae de persecutione Deciana hoc loco leguntur, e fonte ceteris minus turbido hausta esse ostendit P. Franchi de' Cavalieri, t. c., p. 35-40. — (2) Supra, p. 330, annot. 2. — (3) *Διωγμῖται*, *Passio Polycarpi*, VII, 1. — (4) Cf. *Passio Polycarpi*, XII, 1 : θάρσους καὶ χαρᾶς ἐνεπίμπλατο.

εἶμι

Passio I

A εἰμι.» Πομπιανὸς [20] πριμισκρίνιος ἐβόησεν [21] λέγων· «Τρύφων ὡμολόγησεν ἑαυτὸν χριστιανὸν εἶναι [22] (1).» Ἀκυλῖνος ἔπαρχος εἶπεν· «Ἔγνως ὅτι ὁ σεβαστὸς ἐκέλευσεν [23] ζωόκαυστον γενέσθαι [24], εἰ μὴ θύσεις τοῖς θεοῖς;» Ἔφη ὁ Τρύφων· «Εἰ [25] ἄξιός εἰμι ὑπὲρ τοῦ ὀνόματος τοῦ Χριστοῦ μου [26] πυρὶ δοθῆναι, καὶ δὴ [27] ποίει τὸ προσταχθέν σοι.» Ἀκυλῖνος ἔπαρχος ἔφη· «Θῦσον, Τρύφων, τοῖς θεοῖς, ἐπειδὴ σὲ ὁρῶ ἀκμὴν [28] ἔννομον μὴ ἄγοντα τὴν ἡλικίαν καὶ τέλειον ἄγοντα τὸ [29] φρόνημα.» Ἔφη ὁ Τρύφων [30]· «Τέλειον ἔχω τὸ [17] φρόνημα, ἐὰν τελείαν μου [17] ὁμολογήσω τὴν εἰς Θεόν μου ὁμολογίαν [31] καὶ ἐξάρνητον [32] αὐτοῦ τὴν γεναμένην [17] εἰς ἐμὲ πίστιν φυλάξω.» Ἀκυλῖνος ἔπαρχος ἔφη [33]· «Πρὸ τοῦ μέλλειν σὲ τῷ πυρὶ παραδίδοσθαι, πείσθητι τῷ αὐτοκράτορι.» Τρύφων ἔφη· «Πῦρ μοι ἀπειλεῖς οὗτινος τὸ τέλος ἐστι [34] τέφρα· πιστεύω δὲ τῷ Θεῷ τοὺς κακοτέχνους ὑμῶν θυμοὺς καὶ τὰς ψυχὰς ὑμῶν [35] καὶ τοῦ βασιλέως τοῦ ἐκπέμψαντος ὑμῖν τὰς διατάξεις ταύτας [36] ὁμοίως γενέσθαι τῇ [37] τοῦ πυρὸς ἐξερχομένῃ τέφρᾳ.»

*eius praeclara confessio;*

B Ἀκούσας δὲ [38] ὁ ἔπαρχος Ἀκυλῖνος ἐκέλευσεν αὐτόν [39], εἰ μὴ πείθεται τῇ διατάξει αὐτοῦ, κρεμασθέντα σπαθίζεσθαι [40] αὐτόν [41]. Ὁ δὲ προθύμως ἀποδυσάμενος τὰ ἱμάτια αὐτοῦ καὶ τὸν τρίβωνα εἰς γῆν ῥίψας [42], καταμαθὼν τὸ ἅγιον καὶ [43] εὔσχημον αὐτοῦ τοῦ σώματος [44], μετὰ προθυμίας ἐδίδου ἑαυτὸν ἀναρτηθῆναι ἐπὶ τοῦ ξύλου (2), πρότερον [45] τὰς χεῖρας ἐξηρτημένος [34]. Ἔφη ὁ ἔπαρχος [46] τοῖς κυεστιοναρίοις· «Προσαγάγετε [47], καὶ ἅψασθε αὐτοῦ· ἡ γὰρ ἄνοια τῆς ἀφροσύνης αὐτοῦ ἐνεργεῖ [48] αὐτῷ.» Σπαθιζομένου δὲ αὐτοῦ ἰσχυρῶς, οὐδεμία φωνὴ ἐξῄει ἀπ' αὐτοῦ [49]· ἀμετάθετον γὰρ εἶχεν τὸν λογισμὸν τῆς εἰς Χριστὸν ὁμολογίας καὶ [50] πίστεως. Τοῦ δὲ σπαθιζομένου, διάστημα ἐγένετο [51] ὡς ὡρῶν τριῶν. Καὶ ὁ ἔπαρχος Ἀκυλῖνος [52] ἔφη· «Μετανόησον, Τρύφων [53], τῆς ἀπονοίας σου ταύτης· οὐδεὶς γάρ ποτε ἄντικρυς ἐλθὼν τῆς βασιλικῆς [54] διατάξεως ἠδυνήθη ζῆσαι.» Ἔφη ὁ Τρύφων [55]· «Κἀγὼ ἐπίσταμαι ὅτι οὐδεὶς ἀντιτασσόμενος τῇ κελεύσει τοῦ ἐπουρανίου [56] βασιλέως ἠδυνήθη

C

ζῆσαι ὧδε [57] οὔτε ἐν τῷ μέλλοντι αἰῶνι [58].» Ἔφη ὁ Ἀκυλῖνος· «Ὁ οὐράνιος βασιλεὺς Ζεύς ἐστι καὶ Κρονίδης· βασιλεύουσι [59] γὰρ ἐν τῷ οὐρανῷ πάντων τῶν θεῶν (3) εἶτα φάσκεις ἡμῖν τὸν ἀντιτασσόμενον τῇ κελεύσει αὐτῶν μὴ δύνασθαι ζῆσαι [60]· πείσθητι οὖν καὶ θῦσον τοῖς θεοῖς. Τοῦτο γὰρ αὐτοῖς ἀρεστόν ἐστιν.» Τρύφων ἔφη· «Ἀρεστόν [61] ἐστι τῷ πατρί σου τῷ [58] διαβόλῳ ἕλκειν πάντας εἰς εἰδωλολατρείαν, προσκυνεῖν δαίμοσιν ἐπιγείοις [62] καὶ μυσαροῖς· ὅθεν καὶ ὑμᾶς τοὺς ἄρχοντας τοῦ αἰῶνος τούτου ἐποίησεν πράττεσθαι τὰ ἀρεστὰ αὐτοῦ [63] καὶ μεταφέρειν εἰς ἀπώλειαν τὰς ψυχὰς τῶν ἀνθρώπων.» Ἔφη Ἀκυλῖνος [64]· «Εἰς ἀπώλειάν σε οὐ πείθω ἐλθεῖν [65] ἀλλ' εἰς ζωήν, ἐὰν θύσῃς τοῖς θεοῖς· εἰ δὲ οὐ βούλει, θηρίοις σε ποιήσω [66] ἀναλωθῆναι, εἰ τοῦ πυρὸς κατεφρόνησας.» Λέγει ὁ Τρύφων [67]· «Πῦρ μοι ἀπειλεῖς τὸ πρὸς ὀλίγον καιόμενον καὶ μετὰ τοῦτο σβεννύμενον [68], ἢ καὶ θηρίων ἀγρίων [69] θυμοὺς τοὺς ἀοράτῳ δυνάμει ὑπὸ τοῦ Θεοῦ μου καταργουμένους· ἀγνοεῖς δὲ τὸ τῆς μελλούσης [70] κολάσεως ἑτοιμαζόμενον [71] ὑμῖν πῦρ τοῖς παραβαίνουσι τὴν ἐντολὴν [72] τοῦ Θεοῦ (4).» E

8. Ταῦτα ἀκούσας ὁ ἔπαρχος Ακυλῖνος ἐκέλευσεν, ἐξιόντος αὐτοῦ εἰς τὸ κυνήγιον [1], ἵπποις [2] προσδεθέντα [3] τὸν Τρύφωνα ἕλκεσθαι εἰς τὰς νάπας, κρύους ὄντος ἀνηκέστου καὶ χειμῶνος χιονώδους [4] καταρρυΐσκοντος [5]. Ὡς δὲ τὸ προσταχθὲν ἐξετελεῖτο, διερράγησαν αὐτοῦ αἱ βάσεις τῶν ποδῶν αὐτοῦ [6] ἀπὸ τοῦ καταπατεῖσθαι αὐτὸν ὑπὸ [7] τῶν ἵππων ἐπὶ τῆς γῆς. Καταπατουμένου δὲ αὐτοῦ [8], κατεσπείροντο αἱ σάρκες αὐτοῦ· καὶ ἀνεβόησεν λέγων [9]· «Κύριε Ἰησοῦ Χριστέ [10], μὴ στήσῃς αὐτοῖς τὴν ἁμαρτίαν ταύτην.» Ὡς δὲ ἀπὸ τῆς θήρας παρεγένετο ὁ ἔπαρχος ἐν τῷ παλατίῳ, ἐκέλευσεν τὸν Τρύφωνα παρεῖναι πλησίον αὐτοῦ καί φησι [11]· «Δύνασαι λοιπὸν σεσωφρονηκέναι [12];» Ἔφη πρὸς αὐτὸν ὁ Τρύφων· «Ἀνόσιε καὶ κακῶν ἀρχηγέ, δύνασαι λοιπὸν σεσωφρονηκέναι ἀπὸ τῆς μέθης τοῦ πατρός σου τοῦ διαβόλου; ἐγὼ γὰρ [13] ἀεὶ σωφρόνως τὸν ἑαυτοῦ βίον ἐκτελῶν

*supplicia spernit;*

Act. 7, 60.

F

[20] πομπιυὸς A 7. — [21] σκρινιάριος ἐξεβόησεν A 2. — [22] (Τρ. - εἶναι) ἄρνησαι τὸν Χριστόν σου ὁ δὲ Τρ. ἐξεβόησεν λέγων χριστιανός εἰμι A 2. — [23] σε ἐκέλλευσεν A 2. — [24] ζῶντα καῆναι A 2. — [25] (ἔφη-εἰ) Τρ. εἶπεν A 2. — [26] (Χ. μ.) Θεοῦ A 2. — [27] (δοθ. - δὴ) παραδοθῆναι A 2. — [28] ἀγμὴν A 7; ὁρῶ σε νέαν A 2. — [29] (ἔννομον - τὸ) τὴν ἡλ. ἄγοντα καὶ τέλ. ἔχοντα A 2. — [30] καὶ φείδομαί σου Τρ. ἔφη A 2. — [31] εὐσέβειαν A 2. — [32] ἀνεξάρνητον A 2. — [33] εἶπεν A 2. — [34] om. A 2. — [35] ἡμῶν A 7. — [36] (τοὺς - ταύτας) τῷ σώσαντί με ὑμῶν μᾶλλον τοὺς θυμ. καὶ τοῦ βασ. ὑμῶν τὰς διατ. A 2. — [37] ἐκ add. A 2. — [38] ταῦτα ἀκ. A 2. — [39] (ἐκ. αὐτ.) ἐκέλλευσεν A 2. — [40] (κρ. σπ.) κρεμαθίζεσθαι A 7. — [41] αὐτὸν σπ. A 2. — [42] (ὁ δὲ - ῥίψας) τοῦ δὲ πρ. ἀποδυσαμένου τὰ ἱμ. καὶ τὸ τριβόνιον ῥίψαντος εἰς τὴν γῆν A 2. — [43] (τὸ ἅγ. κ.) ὁ ἔπαρχος τὸ A 2. — [44] τοῦ σώμ. αὐτοῦ καὶ ὡς A 2. — [45] προτεῖνον A 2. — [46] (ὁ ἔπ.) om. A 2. — [47] αὐτὸν τῷ ξύλῳ add. A 2. — [48] τῶν μελῶν ἄνοια καὶ ἡ ἀφροσύνη τῆς νεότητος συνεργεῖ A 2. — [49] παρ' αὐτοῦ A 2. — [50] (ὁμ. κ.) om. A 2. — [51] (τοῦ - ἐγ.) ἐγ. δὲ διάστ. A 2. — [52] Ἀγκυλιανὸς A 2. — [53] ἐκ add. A 2. — [54] τοῦ βασιλέως A 2. — [55] Τρ. ἔφη A 2. — [56] ἀντιταξάμενος καὶ ἀποταξάμενος τοῦ οὐρανίου A 2. — [57] Τρ. ἔφη οὔτε ἐν τῷ νῦν αἰῶνι A 2. — [58] om. A 2 — [59] ἐστιν Ζ. Κρονίδης βασιλεύει A 2. — [60] (θεῶν - ζῆσαι) ἐθνῶν ὡς μὴ δύνασθαί τινα ζῆσαι τῶν ἀντιτασσομένων τῇ κελ. αὐτοῦ A 2. — [61] μὲν add. A 2. — [62] ἀκαθάρτοις A 2. — [63] (τοῦ - αὐτοῦ) αὐτοῦ παρόρμησεν διαπράττεσθαι τὰ ἀρέσκοντα αὐτῷ A 2. — [64] Ἀκ. ἔφη A 2. — [65] om. A 7. — [66] πείθω A 7. — [67] καταφρονεῖς Τρύφων ἔφη A 2. — [68] μετ' ὀλίγον σβενύμενον A 2. — [69] ἀγρ. θηρ. A 2. — [70] αἰωνίου A 2. — [71] τηρούμενον A 2. — [72] παραβένουσιν τὰς ἐντωλὰς A 2.

8. — [1] Ἀκ. ἐξιὼν εἰς τὸ κ. ἐκέλ. A 2. — [2] ἵππους A 2; om. A 7. — [3] παραδεθέντα A 2. — [4] χιόνων τε σφοδρῶν A 2. — [5] καταφερομένων A 2. — [6] καὶ A 2. — [7] ἀπὸ A 2. — [8] (καταπ. δ. αὐτοῦ) om. A 2. — [9] ἀναβοῶντος καὶ λέγοντος A 2. — [10] (Ἰ. Χ.) om. A 2. — [11] παραστῆναι κ. φ. ὁ ἔπαρχος A 2. — [12] σωφρονίσαι A 2. — [13] (ἀνόσιε - γὰρ) om. A 2.

(1) Cf. *Passio Polycarpi*, XII, 1: Πολύκαρπος ὡμολόγησεν ἑαυτὸν χριστιανὸν εἶναι. — (2) Cf. *Passio Pionii*, XXI, 1-2: ἑκὼν ἀπεδύσατο· εἶτα κατανοήσας τὸ ἁγνὸν καὶ εὔσχημον τοῦ σώματος ἑαυτοῦ πολλῆς ἐπλήσθη χαρᾶς... ἥπλωσεν ἑαυτὸν ἐπὶ τοῦ ξύλου. — (3) Cf. *Passio Pionii*, XIX, 13: Ζεύς, ὅς ἐστιν ἐν τῷ οὐρανῷ· βασιλεὺς γάρ ἐστι πάντων τῶν θεῶν. — (4) Cf. *Passio Polycarpi*, XI, 2: πυρί σε ποιῶ δαπανηθῆναι, εἰ τῶν θηρίων καταφρονεῖς, ἐὰν μὴ μετανοήσῃς· ὁ δὲ Πολύκαρπος εἶπεν· πῦρ ἀπειλεῖς τὸ πρὸς ὥραν καιόμενον καὶ μετ' ὀλίγον σβεννύμενον· ἀγνοεῖς γὰρ τὸ τῆς μελλούσης κρίσεως καὶ αἰωνίου κολάσεως τοῖς ἀσεβέσι τηρούμενον πῦρ.

εὔχομαι

PASSIO I *in carcerem ducitur.*

εὔχομαι τὸν Χριστὸν ἔχειν βοηθὸν τῆς [14] ἐλπίδος μου [15]. » Τιβέριος Γράγχος [16] καὶ Κλαύδιος Ἀκυλῖνος [17] ἔφη · « Ἀναληφθήτω ἐν τῷ δεσμωτηρίῳ, ὅπως ἐν διωρίᾳ ὑπάρχων νουθετήσῃ ἑαυτὸν ἀπαλλαγῆναι τῆς ἀνοίας [18] αὐτοῦ [15] καὶ προθύμως ἐξακολουθήσῃ τοῖς προστάγμασι τῶν βασιλέων [19]. Μὰ τοὺς θεοὺς ἅπαντας, ἐὰν μὴ θύσῃς, ἀνηκέστοις συμφοραῖς καὶ ἀπειράντοις βασάνοις ὑποβαλῶ σε [20]. »

*Nicaeam devectus*

**9.** Τοῦ δὲ ἐπάρχου ἐξορμήσαντος εἰς [1] ἑτέρας πόλεις κιρκητεύειν τὰς ἐπαρχίας, μετὰ [2] ἡμέρας τινὰς [3] παρεγένετο ἐν τῇ Νικαέων πόλει · καὶ πάλιν προσηνέχθη [4] αὐτῷ ὁ μακάριος Τρύφων. Καί φησι πρὸς αὐτὸν ὁ ἔπαρχος [5] · « Ἐνουθέτησέν σε [6] διάστημα τοῦ χρόνου καὶ αἱ παμποίκιλοι βάσανοι πεισθῆναι τῇ κελεύσει τοῦ βασιλέως [7] καὶ θῦσαι τοῖς θεοῖς ; » Ἔφη ὁ Τρύφων · « Ἐσωφρόνισέν με ὁ κτίστης τῶν ἁπάντων καὶ γενεσιάρχης τῶν ὅλων [8] Θεὸς αὐτῷ μόνῳ προσκυνεῖν καὶ πείθεσθαι ταῖς διατάξεσι τοῦ νόμου αὐτοῦ · ἔμαθον γὰρ αὐτοῦ B λέγοντος [9] ἐν τῇ αἰωνίᾳ καὶ καινῇ διαθήκῃ, ὅτι

Matth. 10, 33. ὃς δ' ἂν με ἀρνήσηται [10] ἔμπροσθεν τῶν ἀνθρώπων ἀρνήσομαι αὐτὸν κἀγὼ [11] ἔμπροσθεν τοῦ πατρός μου τοῦ ἐν τοῖς οὐρανοῖς καὶ τῶν ἁγίων ἀγγέλων [12]. »

*interrogatur*

Ἔφη [13] Ἀκυλῖνος · « Σεαυτὸν [14] οἰκτείρησον καὶ θῦσον τοῖς θεοῖς, μάλιστα ἐπεὶ ὁρῶ καὶ παιδείαν ἐν σοι [15] καὶ φρόνημα ἐντελοῦς ἀνδρός [16]. » Ἔφη ὁ Τρύφων · « Ἐμαυτὸν [14] οἰκτείρω φειδόμενος τῆς ἑαυτοῦ ψυχῆς μὴ καταλιπεῖν [17] τὸν Θεὸν τὸν ποιητὴν οὐρανοῦ καὶ γῆς καὶ πάσης ἀνθρωπότητος, μέλλοντα ἔρχεσθαι ἑκάστης πράξεως [18] κριτήν. » Ἀκυλῖνος ἔφη κοσμηθῆναι [19] ἥλους καὶ καταπαρῆναι [20] τοῖς ποσὶν αὐτοῦ καὶ οὕτω διὰ μέσης [21] τῆς πόλεως εἰς τοὺς παγετοὺς τοῦ χειμῶνος [22] μετὰ πληγῶν ἀπάγεσθαι αὐτόν. Καὶ τούτων γενομένων [23] οὐκ ἴσχυσε κατ' αὐτοῦ ὁ διάβολος · ἐθεώρει γὰρ τοῖς τῆς καρδίας ὀφθαλμοῖς περιμένοντα αὐτὸν τὸν Κύριον εὐαγγελιζόμενον διδόναι αὐτῷ

1 Cor. 2, 9. τὰς [24] ὑποσχέσεις τῶν ἀγαθῶν, ὧν [25] οὔτε ὀφθαλμὸς εἶδεν οὔτε οὖς ἤκουσεν οὔτε ἐπὶ καρδίαν D ἀνθρώπου οὐκ ἀνέβη ἢ [26] νοῦς καταλαβεῖν [27] δύναται (1). Ἀκυλῖνος [28] ἔφη · « Οὐδέπω ᾔσθου [29] τῶν βασάνων ; » Τρύφων ἔφη · « Ἠισθόμην γὰρ ὅλως ὅτι εἰσὶν ἧλοι [30] ἐν τοῖς ποσίν μου [31] (2). » Θαυμάσαντος δὲ τοῦ ἐπάρχου τὴν αὐτοῦ καρτερίαν καὶ τὸν λογισμὸν καὶ ἄλλως λογισαμένου [32], μήτι ἄρα καταφρονεῖ τῶν βασάνων, ἐκέλευσεν περιαγκωνισθέντα αὐτὸν [33] τύπτεσθαι ῥάβδοις. Ὡς δὲ οἱ κυεστιονάριοι τύπτοντες ἔκαμνον μηδὲν ἀνύοντες [34] μηδὲ δυνάμενοι πεῖσαι τὸν ἀκλινῆ αὐτοῦ λογισμόν, ἐκέλευσε λαμπάδας πυρὸς προσκομισθῆναι αὐτοῦ ταῖς πλευραῖς. Τῶν δὲ κυεστιοναρίων [35] ταχέως [36] ἐκτελούντων τὰ προστεταγμένα [37] καὶ προσφερόντων αὐτῷ [38] τὰς λαμπάδας τοῦ πυρός, εἶδον [39] ὑπὲρ τὴν λαμπρότητα τοῦ ἡλίου φῶς περιαστράψαν αὐτῷ [40] καὶ στέφανον ποικίλοις λίθοις ἠμφιεσμένον περὶ τὴν κεφαλὴν αὐτοῦ, εὐμορφίᾳ δὲ [41] καὶ κάλλει ἀνυπερβλήτῳ κατακεκοσμημένην [42] · καὶ ὑπὸ τοῦ φόβου [43] κατηνέχθησαν εἰς τὴν γῆν. Ἐκτείνοντος δὲ τοῦ μακαρίου Τρύφωνος εἰς τὸν οὐρανὸν E τὰς χεῖρας καὶ λέγοντος · « Κύριε [44], μὴ ἰσχυσάτω κατ' ἐμοῦ ὁ διάβολος μηδὲ ἀμύητόν [45] με ποιήσῃς τῶν οὐρανίων [46] σου ἀγαθῶν, ἀλλὰ καταρίθμησόν με [47] τῇ ποίμνῃ τῶν ἐκλεκτῶν σου, χαρισάμενός μοι τὸν τῆς ἀφθαρσίας στέφανον, 2 Tim. 4, 8.
ὃν ἐπηγγείλω τοῖς πατράσιν ἡμῶν τοῖς ἠγαπηκόσι [48] τὸ ὄνομά σου, » πάλιν ὁ ἔπαρχος Ἀκυλῖνος ἔφη · « Εἰ μὴ πείθεται τοῖς προστάγμασι τοῦ βασιλέως [49], σπαθίζεσθε αὐτόν [50]. »

*et gravissime iterum*

Τοῦ δὲ σπαθιζομένου οὐδεμία ὑπόσχεσις ἐγένετο παρ' αὐτῷ τοῦ θῦσαι τοῖς θεοῖς, ἀλλ' οὐδὲ ᾔσθετο τῶν ἀλγηδόνων [51], ἀποδημούντων τῶν τοῦ σώματος αἰκισμῶν (3). Ἔφη ὁ ἔπαρχος · « Τρύφων, μετανόησον τῆς τοιαύτης ἀπονομίας καὶ σεαυτὸν κατοικτειρήσας ἐλέησον [52] τὴν σεαυτοῦ ἡλικίαν. » Ἔφη ὁ Τρύφων · « Ἀδύνατον, ἅπαξ ἤκουσας, θῦσαι δαίμοσιν, διότι τὸν ζῶντα Θεὸν ἐγὼ φοβοῦμαι (4), τὸν ποιήσαντα τὸν οὐρανὸν καὶ τὴν γῆν, οὗ ἡ πνοὴ πάντων [53] ἀνθρώπων ἐν

[14] (ἐκτελ. - τῆς) ἔζησα μετὰ τῆς εἰς Χριστὸν A 2. — C [15] *om.* A 2. — [16] Γράχχος A 2. — [17] ὁ ὑπέρλαμπρος *add.* A 2. — [18] ἀννοίας A 7 ; τιμωρίας A 2. — [19] τοῦ βασιλέως A 2. — [20] (μὰ - σε) εἰ τοὺς θεοὺς ἅπας μὴ θύσει ἀνικ. συμφοραῖς παραδοθήσεται A 2.

**9.** — [1] ἐπὶ τὰς A 2. — [2] ὁ ἅγιος Τρύφων ἦν ἐν τῇ φυλακῇ ἀδιαλήπτως προσευχόμενος καὶ αἰνῶν τὸν Θεὸν μεθ' A 2. — [3] δέ τινας ὁ ἔπαρχος A 2. — [4] προσήχθη A 2. — [5] ὁ ἔπ. πρ. αὐτ. A 2. — [6] τὸ *add.* A 2. — [7] σεβαστοῦ A 2. — [8] (κτ. - ὅλων) τῶν ἁπ. κτήστης A 2. — [9] (ἔμ. - λέγ.) *om.* A 7, *supplevi ex* A 2. — [10] ἀρνήσεται A 2. — [11] κἀγὼ αὐτὸν A 2. — [12] ἀγγ. τῶν ἁγ. A 2. — [13] ὁ *add.* A 2. — [14] ἑαυτὸν A 2. — [15] (καὶ θ.-σοι) μάλ. διὰ τὸ νέον τῆς ἡλικίας σου ἐπειδὴ ὁρῶσαι καὶ παῖδα ὄντα A 2. — [16] ἔχοντα *add.* A 2. — [17] ἐγκαταλειπεῖν A 2. — [18] (μέλλ. - πράξεως) *om.* A 2.— [19] (Ἀκ. - κοσμ.) Τιβέριος Γράχχος καὶ Κλαύδιος Ἀκυλίνος ὁ ὑπέρλαμπρος ἔφη κελεύομεν κομισθῆναι A 2. — [20] ἐν *add.* A 2. — [21] μέσου A 2. — [22] π. καὶ χειμώνας A 2. — [23] ἄγεσθαι καὶ πολλῶν γεναμένων A 2. — [24] (περιμ. - τὰς) τὸν Κύριον ἐπαγγελόμενον διδόναι A 2. — [25] ἃ A 2. — [26] (ἐπὶ - ἢ) *om.* A 2. — [27] ἀνθρώπου καταλαβέσθαι A 2. — [28] Τιβέριος Γράγχος καὶ Κλαύδιος Ἀκ. ὁ ὑπέρλαμπρος A 2. — [29] ἤσθης A 7. — [30] οὐκ ᾐσθώμην ὅλος εἰ ἧλοι εἰσὶν A 2. — [31] ἀλλ' εἰς τὰ ὑποδήματά μου *add.* A 2. — [32] (ἐπάρχ. - λογ.) ἡγεμῶνος F τὴν τοιαύτην αὐτοῦ καρτ. καὶ ἄλλως πῶς λογισάμενος A 2. — [33] (περ. αὐτ.) πάλιν αὐτὸν περιακοντισθέντα A 2. — [34] ἀνύειντες A 7 ; (οἱ - ἀν.) τύπτ. αὐτὸν ἐκάμνων οἱ κυεστ. μηδὲν ἀνοίοντες A 2. — [35] κοιοστιοναρίων A 7. — [36] (τὸν - ταχέως) αὐτοῦ τὸν ἀκ. λογ. ἐκέλ. ὁ ἔπαρχος λαμπάδαις ταῖς πλ. αὐτοῦ προσκ. τῶν δὲ κυεστ. τὸ τάχος A 2. — [37] προσταττόμενα αὐτοῖς A 2. — [38] αὐτῶν A 2. — [39] (τοῦ - εἶδον) ἐξέφνης ὠράθη A 2. — [40] φ. περιλάμψαν αὐτὸν A 2. — [41] (στέφ. - δὲ) στέφανος ποικίλος διηνθισμένος π. τὴν κ. αὐτοῦ περιέκειτο εὐμ. τε A 2. — [42] κεκοσμημένος A 2. — [43] ἀπὸ τοῦ φόβου οἱ δήμιοι A 2. — [44] (ἐκτ. - Κύριε) ἐκτείνας δὲ ὁ μακάριος τὰς χεῖρας εἰς τ. οὐρ. εἶπεν κύριε κύριε A 2. — [45] ἀμοίητον A 7 ; ἄμυρον A 2.— [46] ἐπουρανίων A 2.— [47] καταριθμηθῆναί με ποίησον A 2.— [48] (πατρ. - ἠγ.) τοῖς ἀγαπῶσιν A 2.— [49] σεβαστοῦ A 2. — [50] προστάττω *add.* A 2. — [51] (τοῦ - ἀλγηδόνων) σπαθ. δὲ αὐτοῦ ὑπ. οὐδεμία ἐγ. ἐξ αὐτοῦ ἥκειν τοῖς θ. οὐ γὰρ ᾔσθετο τῶν βασάνων A 2.— [52] (Τρ. μετ. - ἐλέησον) μετ. Τρ. τῆς τοσαύτης ἀνοίας καὶ οἰκτείρησον σεαυτὸν καὶ A 2. — [53] (ἅπαξ - πάντων) ἐστὶν μετἀπισθῆναί με ἅπαξ ἤκ. ὅτι τὸν ζ. Θ. φοβ. οὗ ἡ ζωὴ πάντων τῶν A 2.

(1) Cf. *Passio Polycarpi*, II, 4 : πολλὰ γὰρ ἐμηχανᾶτο κατ' αὐτῶν ὁ διάβολος · III, 1 : ἀλλὰ χάρις τῷ Θεῷ · κατὰ πάντων γὰρ ἴσχυσεν · II, 3 : τοῖς τῆς καρδίας ὀφθαλμοῖς ἀνέβλεπον τὰ τηρούμενα τοῖς ὑπομείνασιν ἀγαθά, ἃ οὔτε οὖς ἤκουσεν, οὔτε ὀφθαλμὸς κ.τ.λ. — (2) Cf. *Passio Pionii*, XXI, 3, 4 : μετανόησον καὶ ἀρθήσονταί σου οἱ ἧλοι · ὁ δὲ ἀπεκρίθη · ᾐσθόμην γὰρ ὅτι ἔνεισι. — (3) Cf. *Passio Polycarpi*, II, 2 : ἐκείνῃ τῇ ὥρᾳ βασανιζόμενοι τῆς σαρκὸς ἀπεδήμουν οἱ μάρτυρες. — (4) Cf. *Passio Pionii*, XX, 2 : ζῶντα Θεὸν φοβοῦμαι.

χερσὶν

UNIVERSITÄTS-BIBLIOTHEK PADERBORN

A χερσὶν αὐτοῦ ἐστι· καὶ εἴκω τοῖς προστάγμασιν αὐτοῦ, ἀνθρώπους δὲ οὐ φοβοῦμαι οὐδὲ [54] τὰς ἀπειλὰς αὐτῶν, οὔτε δέδοικα τὰς ὑπ' αὐτῶν προσφερομένας μοι τιμωρίας [55]. »

*iterumque cruciatus* **10.** *Ταῦτα ἀκούσας ὁ ἔπαρχος Ἀκυλῖνος* [1] *ἐκέλευσεν θρόνον τεθῆναι αὐτῷ ἐν τῇ βασιλικῇ τῆς ἀγορᾶς, ὅπως καθίσας κολάσῃ αὐτόν. Καὶ τῇ ἑξῆς καθίσας ἐπὶ τοῦ βήματος ὁ ἔπαρχος Ἀκυλῖνος* [2] *ἔφη· « Πείσθητι, Τρύφων, ταῖς τοῦ βασιλέως διατάξεσιν* [3]. » *Ἔφη ὁ Τρύφων* [4]*· « Ἅπαξ ἤκουσας καὶ ἤδη πλειστάκις εἰρηκότος μου* [5] *ὅτι τὸν ζῶντα Θεὸν τὸν ἐν τοῖς οὐρανοῖς ἐγὼ σέβομαι καὶ προσκυνῶ* [6]*, ἀνθρώπῳ δὲ οὐκ εἴκω τῷ* [7] *εἰς ἀπώλειαν ἕλκοντι τοὺς πειθομένους αὐτῷ.* » *Ἀκυλῖνος ἔφη· « Τύπτετε αὐτὸν πλουμβάτοις* [8]*, ὅπως διαφόροις αἰκισμοῖς ἀναλωθήσεται ἡ ἀπόνοια τῆς προαιρέσεως αὐτοῦ.* » *Τοῦ δὲ τυφθέντος* [9] *πλουμβάτοις ἀνηκέστοις* [10]*, οὐκ ἴσχυσαν αὐτὸν αἱ παμποίκιλοι βάσανοι εἰς ἄρνησιν μεταστρέψαι* (1). *Ἀκυλῖνος ἔφη· «Θῦσον τῇ εἰκόνι τοῦ καίσαρος Δεκίου καὶ* [11] *ὄμοσον* B *Δία τὸν ἐν τῷ Καπετωλίῳ τῆς θείας* [12] *Ῥώμης* [13] *μὴ εἶναι χριστιανός* [14]. » *Ἔφη αὐτῷ* [15] *Τρύφων· « Εἰ* [11] *τὸν τῆς γῆς βασιλέα παρόντα καὶ ἀναγκάζοντά με οὐκ ἐντρέπομαι ἄντικρυς τῆς ἀληθείας ἐθέλοντα* [16] *πράττειν, πῶς* [17] *τῇ εἰκόνι αὐτοῦ* [18] *ἐπιθῦσαι θελήσω* [19]*, ᾗ* [20] *χρώμασι ζωγράφων συνετέθη* [21]*; περὶ δὲ τοῦ ὀμόσαι ἐν τῷ νόμῳ Κυρίου ἐστὶ γεγραμμένον οὕτως* [22] *·*
Ose. 4, 15; *« Μὴ ὀμνύετε ἐπὶ τῷ ὀνόματι θεῶν ἀλλοτρίων,*
Ier. 7, 4; *οἳ οὐκ ὠφελήσουσιν ὑμᾶς* [23]*, ἀλλ' ὀμνύετε ἐν* [24]
Iob. 1, 21. *ὀνόματι Κυρίου λέγοντες· εἴη τὸ ὄνομα Κυρίου εὐλογημένον* [25] *μετὰ ἀληθείας. Εἰ δὲ θέλεις*
*deos irridet;* *γνῶναι, ἄκουσον* [26]*· Ζεὺς οὔτε ἐγένετο οὔτε ἄνθρωπος ἦν* [27]*, οὔτε Ἀθηνᾶ γυνὴ* [28] *ἐν εἰκόνι ἀνθρώπου περιεπάτησεν, οὔτε Ἄρτεμις ἢ τὰ λοιπὰ βδελύγματα* [29] *ἐδημιουργήθη* [30] *ὑπὸ τοῦ Θεοῦ τοῦ ἀοράτου, τοῦ οὐρανίου βασιλέως, ἢ* [26] *εἰς ἀνθρωπίνην φύσιν ἐκάλεσεν* [26]*· ἀλλὰ τῇ σοφίᾳ μᾶλλον* [31] *δὲ* [32] *τῇ μωρίᾳ τῶν ἀνθρώπων ὠνομάσθησαν. Καὶ* [33] *τὸν μὲν* [34] *ἀέρα, οὗ κοινωνοῦμεν διὰ τῆς δόσεως καὶ λήψεως τοῦ πνεύματος, ἐκάλεσαν Ἥραν* [35]*· τὸν δὲ Ζεῦν τὸ ζῆν τῶν ἀνθρώπων* [36]*, νοῦν Ἀθηνᾶν* (2), *Ἄρτεμιν δὲ* [37] *ἣν καλοῦσιν εἱμαρμένην ἤτοι Νέμεσιν. Καὶ τούτων οὖν* [38] *ἐκτυπώσαντες εἰκόνας* [39] *τῇ τέχνῃ τῶν λιθοξόων ἀγάλματα στήσαντες* [40]*, λίθοις τοῖς ὁμοίοις ὑμῶν προσκυνεῖτε καὶ νομίζετε νήφειν. Ὁ γὰρ τούτοις ἐπισπένδων ἢ προσκυνῶν μετ' αὐτῶν ὑπὸ τοῦ πυρὸς τῆς αἰωνίου κολάσεως δαπανηθήσεται.* » PASSIO I

**11.** *Τότε ὁ ἔπαρχος ἀκούσας ταῦτα καὶ* [1] *ὥσπερ ἐμμανὴς γενόμενος, ἐκέλευσεν συρθῆναι* [2] *τὸ βῆλον* (3) *· καὶ συμβούλιον ποιήσας, ἀπόφασιν ἐξήνεγκεν τοιαύτην, κελεύσας ἀπὸ δέλτων ἀναγνωσθῆναι* [3] *· « Τρύφωνα τὸν ἀπὸ τῆς Φρυγίας, ἤτοι ἀπὸ τῆς Σαμψάδου κώμης* [4] *ὁρμώμενον, τὸν χηνοβοσκὸν συλληφθέντα ἐπὶ τὸ εἶξαι* [5] *τῇ κελεύσει τοῦ αὐτοκράτορος, χριστιανὸν δὲ τυγχάνοντα μὴ πεισθέντα θῦσαι τοῖς θεοῖς, ἀλλὰ τὴν βασιλικὴν ἀντιταξάμενον φωνὴν ἐκέλευσεν τὸ* E *ὑπέρλαμπρον δικαστήριον ξίφει ἀποτμηθῆναι* [6]. » *Τῆς οὖν ἀποφάσεως ἐξενεχθείσης, οἱ εἰς τοῦτο τεταγμένοι* [7] *στρατιῶται ἀπήγαγον αὐτὸν* [8] *ἐπὶ τὸν τόπον* [9] *· ἐπάραντος δὲ τὰς χεῖρας τοῦ μακαρίου Τρύφωνος ἐπὶ τὸ ὑψηλότατον κύτος τοῦ οὐρανοῦ πρὸς τὸν κύριον ἡμῶν Ἰησοῦν Χριστὸν καὶ εἰπόντος αὐτοῦ* [10] *· « Κύριε Ἰησοῦ Χριστέ,* Act. 7, 59. *δέξαι τὸ πνεῦμά μου.* » *Καὶ* [11] *θεὶς τὸ πρόσωπον ἐπὶ* [12] *τὴν γῆν, οὕτως ἀπέδωκεν τὴν ψυχὴν τῷ οὕτως αὐτὸν* [13] *διατηρησαμένῳ Χριστῷ* [14] (4). *Οἱ δὲ ἐν Νικαίᾳ ἀδελφοὶ συνῆλθον* [15] *τάχιον τῇ συστολῇ* [16] *τῶν ἁγίων αὐτοῦ λειψάνων· καὶ λαβόντες αὐτοῦ τὸ σῶμα, χιτῶσι καὶ μύροις πολυτίμοις ἐνειλήσαντες καὶ σινδόσιν, κατέθεντο ἐν λάρνακι* [17] *καὶ οὕτως ἔπεμψαν* [18] *εἰς τὴν ἰδίαν χώραν, εἰς τὴν Σαμψάδου κώμην* [19] *ἀποτεθῆναι αὐτόν, τοῦ ἁγίου Τρύφωνος παραστάντος αὐτοῖς καὶ δηλώσαντος εἰς τὴν ἰδίαν μετακομισθῆναι χώραν* [20]. *Τοιοῦτον μακάριον βίον ζήσας* [21] *ὁ ἅγιος* [22]

*capite damnatur.* — *In oratione spiritum emittit.*

[54] *οὔτε* A 2. — [55] (*οὔτε - τιμ.*) *δέδ. οὔτε τὴν ὑπ' αὐτῶν μοι προσφερομένην τιμωρίαν* A 2.

C **10.** — [1] *om.* A 2. — [2] (*θρόνον - Ἀκ.*) *τῇ βασ. πρὸ τῆς ἀγ. στρωθῆναι αὐτοῦ τὸν θρ. καὶ καθ. ἐπὶ τοῦ βήματος* A 2. — [3] *τοῖς τοῦ β. δόγμασιν* A 2. — [4] *ἅγιος* A 2. — [5] (*ἤκ. - μου*) *καὶ δὶς καὶ πληστάκις εἰρηκ. μου ἤκ.* A 2. — [6] (*τὸν ἐν - προσκυνῶ*) *φοβοῦμαι* A 2. — [7] (*οὐκ εἴκ. τῷ*) *οὐ πίθομαι* A 2. — [8] *Ἀκ. ἔπαρχος εἶπεν κελεύω αὐτὸν τύπτεσθαι* A 2. — [9] *τούτου δὲ τυπτηθέντος* A 2. — [10] *ἀνικεστάτοις* A 2. — [11] *om.* A 2. — [12] *θέας τῆς* A 2. — [13] *εἰπὲ add.* A 2. — [14] *καὶ ἀπαλλάγηθι τῶν βασάνων add.* A 2. — [15] *ὁ ἅγιος* A 2. — [16] *Θεοῦ θέλοντα* A 2. — [17] *καὶ* A 2. — [18] *λέγεις μοι add.* A 2. — [19] *ἥτις τέχνη ἀνθρώπων* A 2. — [20] *καὶ* A 2. — [21] *διετέθη ἀλλ' οὐκ ἀνέξομαί σου τὰ ἀπειγορεύματα συμβουλεύοντός μοι* A 2. — [22] (*ἐν - οὕτως*) *Δίαν ἐστιν γεγ. ἐν τῷ νόμῳ τοῦ Θεοῦ ἡμῶν* A 2. — [23] (*οἳ - ὑμᾶς*) *om.* A 2. — [24] *ἐπ'* A 2. — [25] (*λέγοντες - εὐλ.*) *εὐλογημένου* A 2. — [26] *om.* A 2. — [27] *κατά τινας συγγραφεῖς ὑμῶν add.* A 2. — [28] *οὔτε add.* A 2. — [29] *βδελλύγματα* A 7. — [30] *ἐδημιουργήθησαν* A 2. — [31] *bis in* A 7. — [32] (*τῇ - δὲ*) *om.* A 2. — [33] *τοῦτο οἱ καθ' ὑμᾶς σοφοὶ λέγουσιν* A 2. — [34] *γὰρ add.* A 2. — [35] *Ἄρεα* A 2. — [36] (*τὸν - ἀνθ.*) *τὸ δὲ ζῆν τῶν ἀνθ. ἐκάλεσαν Ζείαν* A 2. — [37] (*νοῦν - δὲ*) *τὴν δὲ φρόνησιν τῶν ἀνθρώπων Ἀθ. Ἀρτεμήν τε* A 2. — [38] *om.* A 2. — [39] *καὶ add.* A 2. — [40] *om.* A 7, *suppl. ex* A 2. —

**11** — [1] *om.* A 2. — [2] *συρῆναι* A 2. — [3] *ταῦτα τὸν add* A 2. — [4] (*ἤτοι - κώμ.*) *om.* A 2. — [5] (*τὸν - εἶξαι*) *εἰς μαρτύριον συλιθέντα καὶ μὴ ἤξαντα* A 2. — [6] (*τυγχ. - ἀποτμ.*) *ἑαυτὸν ἀποκαλοῦντα καὶ μὴ πισθέντα ἡμῖν ἀλλὰ τῇ βασιλεικῇ ἀντιτ. φωνῇ ἐκ. τὸ ὑπ. δικ. ξ. ἀπαχθῆναι καὶ ἀπαλλαγῆναι τῆς ἡδίστης ζωῆς* A 2. — [7] *τετακμένοι* A 7. — [8] *om.* A 7, *suppl. ex* A 2. — [9] *τὸν συνίθη add.* A 2. — [10] (*ἐπάρ .- αὐτοῦ*) *ἐπάρας δὲ τ. χ. ὁ μακ. Τρύφων εἰς τὸν οὐρανὸν ἤρξατο λέγειν* A 2. — [11] *ταῦτα εἰπὼν add.* A 2. — [12] *εἰς* A 2. — [13] *αὐτῶι* A 7. — [14] (*οὕτως - Χριστῷ*) *καὶ προσευξάμενος τῷ Θεῷ τῷ οὕτως αὐτὸν διατηρίσαντι πρὸ τοῦ πληγῆναι αὐτὸν τῷ ξίφει ἀπεδ. τὴν ψ. τῷ κυρίῳ* A 2. — [15] *συνελθόντος* A 2. — [16] (*τῇ συστ.*) *ἔσπευδον τίς πρῶτος κοινωνήσει τῇ κιδείᾳ* A 2; *τίς κοινωνήσει τῶν ἁγίων αὐτοῦ λειψάνων* A 4; cf. *Passio Polycarpi*, XVII, 1. — [17] (*χιτῶσι - λάρνακι*) *καὶ χρίσαντες μύρ. πολυτ. ἐνηλίσαντες ἐν σινδονίοις κατ. ἐν λαρνακίῳ* A 2. — [18] *ἀπέπεμψαν* A 2. — [19] *ἐν Σαψάδου κώμῃ* A 2. — [20] (*τοῦ - χώραν*) *παραστ. τοῦ ἁγ. Τρ. καὶ δηλ. αὐτοῖς εἰς τ. ἰδ. χ. ἀπαχθῆναι τὸ τήμιον καὶ ἅγιον αὐτοῦ σῶμα* A 2. — [21] *ζ. β.* A 2. — [22] *τοῦ Θεοῦ add.* A 2. F

(1) Cf. *Passio Polycarpi*, II, 4: *ἵνα... εἰς ἄρνησιν αὐτοὺς θρέψῃ· πολλὰ γὰρ ἐμηχανᾶτο κατ' αὐτῶν ὁ διάβολος*, III, 1: *ἀλλὰ... οὐκ ἴσχυσεν.* — (2) Similia sunt quae passim apud veteres apologetas legimus, ut ap. Athenagoram, VI: *Ζεὺς μὲν κατὰ τὸ ζέον τῆς ὕλης ὀνομαζόμενος, Ἥρα δὲ κατὰ τὸν ἀέρα...* XXII: *περὶ τῆς Ἀθηνᾶς ἣν φρόνησιν διὰ πάντων διήκουσάν φασιν.* Legenda quae ad utrumque locum notavit J. GEFFCKEN, *Zwei griechische Apologeten* (Leipzig, 1907), pp. 176, 208, 210. — (3) Lege quae de velo secretarii collegit P. FRANCHI, t. c., p. 25. — (4) Cf. *Passio Pionii*, XXI, 2: *εὐχαριστήσας τῷ τοιοῦτον αὐτὸν διατηρήσαντι Θεῷ.*

*Τρύφων*

**Passio I**

Τρύφων, ἐξεδήμησεν ἐκ τοῦ κόσμου · καὶ γὰρ πολλοὺς σφαλέντας[23] περὶ τὴν πίστιν τοῦ Θεοῦ ἐστερέωσεν καὶ νόσους ποικίλας[24] ἐθεράπευσεν[25], δαίμονας ἀπὸ τῶν ἀνθρώπων ἀπήλασεν[26] καὶ τόποις[27] τισὶ[28] δρακόντων, ἰοβόλων θηρῶν[29] θυμοὺς εἰς[30] γῆν κατέρραξεν διὰ τῆς δυνάμεως τοῦ Κυρίου ἡμῶν[31] ἀποστολικὸς ἀνὴρ γενόμενος[32] (1). Ἐμαρτύρησεν δὲ ὁ ἅγιος[33] Τρύφων τῇ πρὸ τεσσάρων νόννων φευρουαρίων κατὰ Ῥω- D μαίους, κατὰ δὲ ἡμᾶς μηνὶ φευρουαρίῳ πρώτῃ[34], ὑπάρχοντος ὑπάτου[35] τῆς Ἀνατολῆς Τιβερίου Γράγχου[36] Κλαυδίου καὶ[37] Ἀκυλίνου ἐπάρχου, βασιλεύοντος Δεκιου καίσαρος[38], κατὰ δὲ ἡμᾶς[39] βασιλεύοντος τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ (2), ᾧ ἡ δόξα καὶ τὸ κράτος νῦν καὶ ἀεὶ καὶ[40] εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

[23] (ἐξεδ.-σφαλ.) ὅτε ἐπεδήμη τῷ κόσμῳ πολλοὺς σκάζοντας A 2. — [24] ποικίλους A 2. — [25] καὶ *add.* A 2. — [26] ἀπ. ἐξ ἀνθρώπων A 2.— [27] ἀτόποις A 7.— [28] ἐπιστὰς *add.* A 2. — [29] (ἰοβ. θ.) καὶ θηρίων A 2. — [30] τὴν *add.* A 2. — [31] (κ. ἡμ.) Θεοῦ A 2. — [32] καὶ μάρτυς τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ *add.* A 2.— [33] μακάριος A 2. — [34] κατὰ δὲ Ἀσιανοὺς μηνὶ Περιτίου A 4. — [35] (τῇ - ὑπάτου) μηνὶ δύστρῳ δεκάτῃ τοῦτέστιν φευρουαρίῳ πρώτῃ βασιλεύοντος Δεκίου Καίσαρος τῆς Ῥώμης ἐπὶ ὑπατίου A 2. — [36] Γράχχου καὶ A 2.— [37] *om.* A 2. — [38] (ἐπ. - καίσ.) *om.* A 2. — [39] καθ' ἡμᾶς δὲ A 2. — [40] (νῦν - καὶ) *om.* A 2.

(1) Cf. *Passio Pionii*, I, 2 : ἀποστολικὸς ἀνὴρ τῶν καθ' ἡμᾶς γενόμενος. — (2) Similis est clausula *Passionis Pionii*, XXIII.

---

B E

## II. VITA ET MIRACULA S. TRYPHONIS

*E codicibus Vindobonensi Hist. graec. 3* (= **A 1**), *Hierosolymitano bibl. Patriarch. 1* (= **A 2**), *Parisiensi bibl. Nationalis graec. 1452* (=**A 3**), *item 1460* (= **A 5**), *bibl. Vaticanae graec. 1608* (= **A 9**). *Cf. Comm. praev. num. 2.*

Βίος καὶ[1] θαύματα[2] τοῦ ἁγίου καὶ ἐνδόξου[3] μάρτυρος[4] Χριστοῦ[5] Τρύφωνος.

*S. Tryphon duos annos natus*

**1.** Ὁ βίος τοῦ ἁγίου καὶ ἐνδόξου[1] μάρτυρος τοῦ Χριστοῦ[2] Τρύφωνος ἀπὸ διετοῦς χρόνου[3] μέχρι τέλους τίμιος καὶ[4] ἐνάρετος ὑπῆρχεν · καὶ τὸ μὲν[5] μαρτύριον[6] αὐτοῦ ἐν Νικαίᾳ τῇ πόλει[7] ἐτελέσθη, ἡ δὲ[8] ἀρχὴ τῶν ἄθλων[9] αὐτοῦ γέγονεν[10] ἐν Καμψάδου[11] κώμῃ[12] (1), ὅπου καὶ ὁ στέφανος αὐτῷ δέδοται[13] καὶ φυλαχθεὶς τετήρηται ἐν τοῖς οὐρανοῖς[14]. Οὗτος τοίνυν[15] ὁ ἅγιος ἦν σωφρονιζόμενος[16] καὶ θαλπόμενος[17] ὑπὸ τῆς ἰδίας αὐτοῦ[18] μητρὸς[19] Εὐχαρίης[20] C καὶ τρεφόμενος[21] ὑπὸ πνεύματος ἁγίου καὶ[22] διδασκόμενος[23] ὑπὸ ἀγγέλου[24] τὴν εἰς[25] Θεὸν ἐλπίδα ἔχειν[26] καὶ τὴν εἰς[27] τὸν[28] κύριον ἡμῶν[29] Ἰησοῦν Χριστὸν πίστιν ἀσάλευτον ἐλπίδα βεβαίαν[30] · καὶ τοῦτο ἐγίνετο[31] ἐφ' ἑκάστης ἡμέρας, ὡς πληρωθῆναι τὸν ἅγιον Τρύφωνα πνεύματος ἁγίου. Γενομένου δὲ αὐτοῦ ἐτῶν δύο (2) καὶ παίζοντος[32] σὺν καὶ[33] ἑτέροις παιδίοις, συνέβη[34] ἓν ἐξ αὐτῶν θηριόδηκτον γενέσθαι[35], ὡς κινδυνεύειν αὐτὸ θανάτῳ. Καὶ δραμὼν[36] ἓν τῶν παιδίων[37] ἀπήγγειλεν τῷ πατρὶ αὐτοῦ καὶ τῇ μητρί[38]· οἱ δὲ ἀκούσαντες ταῦτα[39] ὠλόλυξαν, ὡς[40] πάντας τοὺς συνελθόντας[41] πενθεῖν περὶ τούτου[42]. Ἦν δὲ ὁ μακάριος Τρύφων παίζων καὶ θαλπόμενος ὑπὸ ἁγίων[43] ἀγγέλων. Ὡρῶν δὲ τριῶν διελθουσῶν ἐν[44] τῷ πένθει, ἤρξατο ἀθρόον[43] ὁ δηχθεὶς[45] παῖς ἐπιφωνεῖν καὶ λέγειν[46] · « Δέομαί σου, ἅγιε τοῦ Θεοῦ Τρύφων, ἐλέησόν με καὶ εὖξαι τῷ Θεῷ σου · καὶ[47] ἐγγίσας ἅψαι μου, καὶ σωθήσομαι ἀπὸ τῶν πόνων τούτων[48] καὶ οὐ μὴ ἀποθάνω, ὅτι σοὶ δέδωκεν[49] ὁ Θεὸς τὴν[50] χάριν ἐπὶ τῶν ἰαμάτων. » *puerum a morsu serpentis* Εἰπόντος δὲ τοῦ δηχθέντος[51] παιδίου ταῦτα, ἐστράφη ὁ ὄχλος καὶ ἥρπασεν τὸν ἅγιον Τρύφωνα λέγων[52] ὅτι · « Ἡ φωνὴ ἡ ὑπὸ τοῦ παιδίου λεχθεῖσα φανέρωμα Θεοῦ ἐστιν. » Ἀναγόμενον δὲ τὸ[53] παιδίον Τρύφων φωνῇ μεγάλῃ λέγει[54] · « Τὸ φῶς μου ὁ Χριστός[55] · ἔκτεινον τὴν χεῖρά[56]

**Lemma.**— [1] (β. κ.) *om.* A 3, 9.— [2] μαρτύριον A 2. — [3] (ἁγ. κ. ἐνδ.) *om.* A 2, 3, 9. — [4] μεγαλομάρτυρος A 3, *om.* A 2, 9. — [5] *om.* A 3, 9.

**1.** — [1] (κ. ἔνδ.) *om.* A 2. — [2] (τ. Χ.) *om.* A 2 ; (ἁγ. - Χ.) *om.* A 9. — [3] καὶ A 9. — [4] (τ. κ.) *om.* A 9. — [5] (κ. τ. μ.) τὸ δὲ A 9. — [6] (χρόνου - μαρτ.) *om.* A 2. — [7] (τ. π.) *om.* A 2. — [8] *om.* A 2, 9 ; (ὁ βίος - δὲ) *om.* A 3. — [9] θαυμάτων A 3. — [10] ἐγένετο A 3, *om.* A 2. — [11] Σαψάδου A 2, 9. — [12] ἐγένετο *add.* A 2. — [13] αὐτοῦ ἐτηρήθη A 2, 9.— [14] (καὶ φ. - οὐρ.) *om.* A 2, 9.— [15] *om.* A 2, 9. — [16] σωζόμενος A 9. — [17] (οὗτος - θαλπ.) ἦν δὲ σοφρονιζόμενον καὶ θαλπόμενον τὸ παιδίον Τρύφων A 3. — [18] (ἰδ. αὐτοῦ) *om.* A 2, 3, 9. — [19] αὐτοῦ *add.* A 2, 9. — [20] Εὐχαρῆς A 2. — [21] τρεφόμενον A 3. — [22] (καὶ - καὶ) *om.* A 2, 9. — [23] διδασκόμενον A 3 ; δὲ ἦν *add.* A 2 ; δὲ *add.* A 9. — [24] ἀγγέλων A 2 ; ἁγίων ἀγγέλων A 9. — [25] τὸν *add.* A 2. — [26] *om.* A 3. — [27] (ἐλπ. - εἰς) πατέρα καὶ A 2, 9. — [28] *om.* A 2. — [29] *om.* A 9. — [30] (ἡμῶν - βεβ.) σωτηρίαν A 3. — [31] (ἀσάλ. - ἐγ.) *om.* A 2, 9. — [32] τοῦ μακαρίου Τρύφωνος *add.* A 3. — [33] (ὡς - καὶ) ἔτι τε (*om.* A 9) παιδίον ὂν ὡς ἐτῶν δύο ἐπληρώθη πνεύματος ἁγίου καὶ σημεῖα μεγάλα ἐπετέλει · τούτου παίζ. ποτε σὺν A 2, 9. — [34] *om.* A 2, 9. — [35] ἐγένετο A 2 ; γέγονεν A 9. — [36] (κ. δ.) δραμὼν δὲ A 2 ; ἔδραμεν δὲ A 3. — [37] καὶ *add.* A 3. — [38] αὐτοῦ *add.* A 9. — [39] *om.* A 9 ; (οἱ - ταῦτα) ἡ δὲ ἀκούσασα A 2. — [40] ὥστε A 2, 9. — [41] συνεληλυθῶτας A 9. — [42] (π. τ.) *om.* A 3, 9. — [43] *om.* A 2, 3. — [44] ἐπὶ A 2, 9. — [45] δαχθεὶς A 2. — [46] (παῖς - λέγ.) ἐπιφωνεῖν A 3. — [47] (σοῦ - καὶ) σοι (A 2) παιδίον Τρ. A 2, 9. — [48] μου A 2, 9.— [49] ἔδωκεν A 3 ; (ὅτι - δέδ.) σὺ γὰρ ἐδ. (δέδ. A 9) A 2, 9.— [50] *om.* A 2,9. — [51] *om.* A 3. — [52] (εἰπόντος - λέγων) καὶ εἰπόντος αὐτοῦ ταῦτα στραφεὶς ὁ ὄχλος ἥρπ. τὸ παιδίον Τρ. καὶ ἔλεγον A 2, 9. — [53] (ἀναγ. - τὸ) τὸ δὲ A 2, 9. — [54] εἶπεν A 2, 9. — [55] Θεὸς A 2, 9. — [56] χεῖράν A 9.

(1) De aliis sanctis in p uerili aetate miracula patrantibus, Comm. praev. num. 5. — (2) In Passione, supra, p.330, *Σαμψάδου*, ut et in libris latinis ; accedit nonnullorum codicum lectio *Σαψάδου*.

*σου*